Pet. 99/1
χ 424

# ΑΚΟΛΟΥΘΙΑΙ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ

## ΓΡΗΓΟΡΙΟΥ

ΤΟΥ ΚΤΙΤΟΡΟΣ ΤΗΣ ΕΝ ΑΓΙΩι ΟΡΕΙ ΑΘΩι

ΙΕΡΑΣ ΚΑΙ ΣΕΒΑΣΜΙΑΣ ΜΟΝΗΣ ΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

ΚΑΙ ΤΗΣ

ΑΓΙΑΣ ΟΣΙΟΠΑΡΘΕΝΟΜΑΡΤΥΡΟΣ

## ΑΝΑΣΤΑΣΙΑΣ ΤΗΣ ΡΩΜΑΙΑΣ

Μετὰ ἐπιμνημοσύνου πρὸς τοὺς Κτίτορας τῆς Μονῆς Λόγου

ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΙΣΑΙ ΕΠΙΜΕΛΕΙΑ

ΓΕΡΟΝΤΟΣ ΒΑΡΛΑΑΜ ΤΟΥ ΓΡΗΓΟΡΙΑΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΤΥΠΟΙΣ - Ν. ΧΡΙΣΤΟΜΑΝΟΥ
ΘΕΣΣΑΛΟΝΙΚΗ
20 - ΟΔΟΣ ΦΡΑΓΚΩΝ — 20
— 1921 —

ΤΗι ΙΕΡΑι ΚΑΙ ΑΛΗΣΤΩι ΜΝΗΜΗι

ΤΟΥ ΓΕΡΟΝΤΟΣ ΜΟΥ

# ΣΥΜΕΩΝ ΑΓΓΕΛΙΔΟΥ

ΤΟΥ ΕΚ ΤΡΙΠΟΛΕΩΣ ΤΗΣ ΠΕΛΟΠΟΝΝΗΣΟΥ

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΚΑΙ ΚΑΘΗΓΟΥΜΕΝΟΥ

ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ

## ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ

ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΕΝΕΚΕΝ

Ο ΕΚΔΟΤΗΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μηνὶ Δεκεμβρίῳ ζ΄.

## Τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν
## ΓΡΗΓΟΡΙΟΥ

τοῦ Κτίτορος τῆς Ἱερᾶς Μονῆς ταύτης, τὴν ὁποίαν ἀνήγειρεν εἰς ὄνομα καὶ μνήμην τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ.

### Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια

**Ἦχος δ΄. — Ἔδωκας σημείωσιν.**

Βίον ἀκηλίδωτον, ὑπομονὴν καὶ πραότητα, καὶ ἀγάπην ἀνόθευτον, ἐγκράτειαν ἄμετρον, παννύχιον στάσιν, κατάνυξιν θείαν, πίστιν, ἐλπίδα ἀληθῆ, ἐν συμπαθείᾳ πάτερ κτησάμενος, ὡς ἄγγελος ἐβίωσας, ἐν τῷ Ὄρει τοῦ Ἄθωνος, σοφὲ Γρηγόριε, τῆς Μονῆς σου τὸ καύχημα. (δίς).

Ἐπίγειος Ἄγγελος καὶ ἐπουράνιος ἄνθρωπος, ἐχρημάτισας Ὅσιε, πηγὴ κατανύξεως, συμπαθείας ρεῖθρον, πέλαγος θαυμάτων, ἁμαρτωλῶν ἐγγυητής, ἐλαία ὄντως Θεοῦ κατάκαρπος, ἐλαίῳ τῶν καμάτων σου, καθιλαρύνων τὰ πρόσωπα, πάτερ Γρηγόριε, τῶν πιστῶς εὐφημούντων Σε.

Ὁ νοῦς σου λαμπόμενος ταῖς θεϊκαῖς ἐπινεύσεσι, τῶν τοῦ σώματος ὕπερθεν, παθῶν ἐχρημάτισας, ἀμιγεῖς τῶν κάτω φέρων χαρακτῆρας, καὶ ἐκτυπῶν ἐν ἑαυτῷ τὸ θεῖον κάλλος καὶ γνωριζόμενος, ὅλος φωτοειδέστατος τῇ συνεργείᾳ τοῦ Πνεύματος, κλεινὲ Γρηγόριε, μοναζόντων ἀγλάϊσμα.

**Δόξα. Ἦχος πλ. β'.**

Γρηγόριε Πάτερ, συμπολῖτα τῶν Ἀγγέλων, βασιλείας κληρονόμε τοῦ Χριστοῦ Παρεστὼς τῇ Τριάδι, πρέσβευε ὑπὲρ ἡμῶν τῶν φιλτάτων σου τέκνων, χρεωστικῶς ἐκτελούντων τὴν πανόσιον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.**

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς σὲ ἱκετεύομεν πρέσβευε Δέσποινα, μετὰ τοῦ Θεοφόρου*, καὶ πάντων τῶν Ἁγίων ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον.

**Ἦχος β'. — Οἶκος τοῦ Ἐφραθᾶ.**

Πράξεως ἐπιβάς, τῷ ἅρματι θεόφρον, καὶ καθαρθεὶς τὴν φρένα, ἀνέδραμες εἰς ὕψος τῆς θεωρίας Ὅσιε.

Στίχος: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Πᾶσαι τῶν μοναστῶν χορεῖαι συνελθοῦσαι, ᾠδαῖς τε καὶ ὕμνοις, τιμήσωμεν συμφώνως, τὸν ἱερὸν Γρηγόριον.

Στίχος: Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ὥσπερ θεοφεγγής, φωστὴρ ἐξανατείλας, τῇ Ἐκκλησίᾳ, Πάτερ, τὴν οἰκουμένην πᾶσαν, φωτίζεις τοῖς σοῖς θαύμασι.

**Δόξα. — Ὅμοιον.**

Ἄναρχε, ὦ Τριάς, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, ὁ εἷς Θεὸς τῶν ὅλων, περίσωζε τοὺς πίστει, ὑμνοῦντάς σου τὴν δύναμιν.

**Καὶ νῦν. — Θεοτοκίον.**

Ὦ Ἄχραντε, Ἁγνή, καὶ Ἄσπιλε Μαρία, πρέσβευε τῷ

* Οὕτω ἔχει ἐν τῷ χειρογράφῳ.



Υἱῷ σου μετὰ τοῦ σοῦ Ὁσίου, ὑπὲρ ἡμῶν τῶν δούλων σου.

Νῦν ἀπολύεις καὶ τὸ Τρισάγιον.

**Ἀπολυτίκιον. Ἦχος α'. — Τοῦ λίθου σφραγισθέντος.**

Ὡς Ἄγγελος ἐν βίῳ ἐγνωρίσθης πατὴρ ἡμῶν, καὶ χάριν ἰαμάτων ἐκομίσω* ἀοίδιμε, θαυμάσια τελέσας φοβερά, Γρηγόριε παθῶν φυγαδευτά, θεραπεύεις ἐν ἀγάπῃ σὺν ταῖς ψυχαῖς καὶ τὰ σώματα μακάριε, δόξα τῷ εὐδοκήσαντι ἐν σοί, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πιστοῖς τὰ ἰάματα.

Ἕτερον.

**Ἦχος α'. — Τὸν τάφον σου Σωτήρ.**

Γρηγόριον ᾠδαῖς εὐφημήσωμεν πάντες, ἑῴας τὸν βλαστὸν καὶ Ὁσίων τὸ κλέος, Μονῆς τῆσδε δομήτορα καὶ ἀπόρθητον ἔρεισμα, πίστει κράζοντες, μὴ διαλείπῃς παντοίων, δεινῶν, Ὅσιε, καθικετεύειν ἀπαύστως τὴν ποίμνην σου σῴζεσθαι.

Καὶ Ἀπόλυσις.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Ἱστῶμεν στίχ. ϛ'. Τοῦ Ἁγίου Νικολάου γ'. καὶ γ'. τοῦ Ὁσίου Γρηγορίου. Ποίημα τοῦ Ὁσιολογιωτάτου Κ. Γρηγορίου τοῦ καὶ Γέροντος χρηματίσαντος ἐν τῇ Μονῇ ταύτῃ τοῦ Ἁγίου Νικολάου.

**Ἦχος β'. — Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Μύροις παροικήσας αἰσθητῶς, Μῦρον ἀληθῶς ἀνεδείχθης, Μύρῳ χρισθεὶς νοητῷ, Ἅγιε Νικόλαε, Ἀρχιεράρχα Χριστοῦ, καὶ μυρίζεις τὰ πρόσωπα, τῶν πίστει καὶ

* Ἀντὶ τοῦ ἐκοσμήσω.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ

πόθῳ, σοῦ τὴν παναοίδιμον, μνήμην τελούντων ἀεὶ λύων συμφορῶν καὶ κινδύνων, τούτους καὶ τῶν θλίψεων Πάτερ, ἐν ταῖς πρὸς τὸν Κύριον πρεσβείαις σου.

Νίκη φερωνύμως ἀληθῶς, τοῦ πιστοῦ λαοῦ ἀνεδείχθης, ἐν πειρασμοῖς κραταιά, Ἅγιε Νικόλαε, θεράπων ὄντως Χριστοῦ, πανταχοῦ γὰρ καλούμενος, ὀξέως προφθάνεις, πόθῳ τοὺς προστρέχοντας, ὑπὸ τὴν σκέπην σου. Σὺ γὰρ ἐν νυκτὶ καὶ ἡμέρᾳ, πίστει ὀπτανόμενος σώζεις, ἐκ τῶν πειρασμῶν καὶ περιστάσεων.

Μέγας ἀντιλήπτωρ καὶ θερμός, τοῖς ἐν τοῖς κινδύνοις τελοῦσιν, ὑπάρχεις ἔνδοξε, Ἅγιε Νικόλαε, Ἱεροκῆρυξ Χριστοῦ, τοῖς ἐν γῇ καὶ τοῖς πλέουσι, τοῖς πόρρω καὶ πέλας, οἷα συμπαθέστατος, καὶ πρεσβευτὴς κραταιός· ὅθεν συνελθόντες βοῶμεν. πρέσβευε πρὸς Κύριον ὅπως, πάσης λυτρωθῶμεν περιστάσεως.

Τοῦ Ὁσίου Γρηγορίου.

**Ἦχος δ΄. — Ὡς γενναῖον ἐν μάρτυσιν.**

Τῶν Ἀγγέλων ὁμόσκηνον, καὶ Ὁσίων συνόμιλον, γεγονότα Ὅσιε Σὲ Γρηγόριε, πηγὴν θαυμάτων ἀνέδειξε, Χριστὸς ὁ φιλάνθρωπος, Ὃν ἐπόθησας θερμῶς, διὸ σώζεις τοὺς πίστει σὲ μακαρίζοντας, ἐκ παντοίων κινδύνων θεοφόρε, καὶ βαρβάρων ἐπηρείας, καὶ πάσης ἄλλης κακώσεως.

Τῶν χαρίτων τοῦ Πνεύματος, ταῖς ἐνθέοις ἐλλάμψεσι, λαμπρυνθεὶς Γρηγόριε Ὁσιώτατε, Χριστοῦ θεράπων γεγένησαι ὀδύνας κακώσεων, καὶ τὸ σκότος τῶν παθῶν, ἀπελαύνων πρεσβείαις σου, καὶ ῥυόμενος ἀλγηνῶν τοὺς τὴν μνήμην σου τελοῦντας, καὶ ἐν πίστει ἐκβοῶντας, δόξα τῷ σὲ μεγαλύναντι.



Τοὺς μεγίστους ἀγῶνάς σου, θεοφόρε Γρηγόριε, καὶ τὴν ὑπεράνθρωπον καρτερίαν σου, ταῖς τῶν ἐχθρῶν παρατάξεσι Χριστὸς ὁ Θεὸς ἡμῶν, κατιδών σοι τὴν αὐτοῦ, βασιλείαν ἡτρέπισεν δεῦρο λέγων σοι, ἀγαθὲ καὶ πιστὲ τοῦ ἀμπελῶνος, οἰκονόμε καὶ ἐργάτα, ἀπολαυεῖν τὸ δηνάριον.

**Δόξα. Ἦχος πλ. β΄.**

Τὴν τῶν Ὁσίων καλλονήν, καὶ μονοτρόπων κλέος, τὴν κρήνην τῶν θαυμάτων, καὶ τῶν παθῶν ὀλετῆρα* ὀξύτατον συνελθόντες, ὦ φιλέορτοι, μελῳδικαῖς ὑμνῳδίαις τιμήσωμεν λέγοντες· χαίροις ὁ τῆς ἑῴας βλαστός, καὶ τῆς τοῦ Γρηγορίου φρουρὸς καὶ κλέος ἀναφαίρετον· χαίροις λαμπτὴρ τηλαυγέστατε, ὁ ταῖς τῶν ἔργων λάμψεσι, καταυγάζων τοὺς ἅπαντας· χαίροις ὁ τῶν νοσούντων ταχὺς θεραπευτής, καὶ τῆς Μονῆς σου ταύτης προστάτης ἄγρυπνος. Καὶ νῦν** παμμάκαρ Γρηγόριε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ἐν πίστει καὶ πόθῳ τελούντων καὶ τιμώντων ἀεί, τὴν θείαν σου ἑορτὴν καὶ πάνσεπτον.***

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον Τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος· αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

---

* Ἀντὶ τοῦ ἐλατῆρα ὡς ἔχει τὸ χειρόγραφον. ** Ἀντὶ τοῦ Διὸ παμμάκαρ, ὡς ἔχει τὸ χειρόγραφον.
*** Ἀντὶ τοῦ θείαν καὶ πάνσεπτον εἰκόνα σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν· καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν, λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι, ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ ἐστὶ φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος, εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη, ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μὴ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ.

Τὸ ἰδιόμελον τοῦ Ἁγίου Νικολάου.

**Ἦχος α΄.**

Ἐνατενίσας ἀκλινῶς τῷ ὕψει τῆς γνώσεως, καὶ κατοπτεύσας ἀδήλως σοφίας τὸν βυθόν, σαῖς διδαχαῖς κόσμον κατεπλούτισας Πάτερ, ὑπὲρ ἡμῶν ἀεὶ Χριστὸν δυσώπει, Ἱεράρχα Νικόλαε.

Τοῦ Ἁγίου Γρηγορίου ἰδιόμελα

**Ἦχος ὁ αὐτός.**

Τῆς κοσμικῆς ἀποστὰς συγχύσεως ἀοίδιμε, καὶ πᾶσαν τρυφὴν ὁμοῦ τε καὶ δόξαν μισήσας, τὴν οὐράνιον βασιλείαν ἐπεπόθησας, ἡγιασμένε Γρηγόριε, ἐν τῷ ὄρει τοῦ Ἄθωνος, τὴν τῶν ἀζύγων πολιτείαν ἐκλεξάμενος, τῷ κρύει καὶ καύσωνι τρυχωθείς, ἀγρυπνίαις τε καὶ προσευχαῖς περιφραχθείς, τὰς ἐνέδρας τοῦ Σατὰν ἀπεκρούσω, καὶ τὴν χάριν τῶν θαυμάτων κομισάμενος, σὺν Ἀγγέλοις χορεύεις

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

ἐν οὐρανοῖς, τὴν δὲ ἐνεγκαμένην περιφρουρεῖς, τοὺς ἐν αὐτῇ πιστοὺς ἐκ παντοίων νόσων θεραπεύων, ἐνεργείᾳ τοῦ θείου πνεύματος, καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου ἀνυμνούντων, τὸ ἱερόν σου μνημόσυνον.

**Ὁ αὐτός.**

Τὸν κλεινὸν καὶ στεῤῥὸν Γρηγόριον, τὸν ὑπὲρ τῆς αἰωνίου ζωῆς ἀγωνισάμενον, καὶ Μονὴν ἰδίαν ἐν τῇ τοῦ Ἄθωνος ὑπωρείᾳ δομησάμενον, δεῦτε, ὦ φιλέορτοι ὑμνήσωμεν λέγοντες : Χαίροις, τῶν πιστῶν ἀήττητος πρόμαχος, καὶ τῶν ἀπίστων ἐθνῶν ἀπείργων τὰς μηχανουργίας. Χαίροις, ἡ τῶν θαυμάτων ἀκένωτος πηγή, καὶ παραμυθία τῶν θλιβομένων. Χαίροις, ὁ τῶν νοσούντων ταχὺς θεραπευτής. Χαίροις τῆς ἑῴας τὸ καύχημα, καὶ τῆς ὁμωνύμου σου Μονῆς τὸ ἀγαλλίαμα.

**Ὁ αὐτός.**

Τῆς χάριτος τῶν θαυμάτων ἠξιωμένος, παρέχεις ἀφθόνως τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις, καὶ τοὺς μετὰ πόθου ἀσπαζομένους τὴν ἁγίαν σου Σορόν, λυτροῦσαι παντοίων ἀλγεινῶν, ἀείμνηστε Γρηγόριε. Τοὺς δὲ ἐν τῇ σεπτῇ σου μάνδρᾳ μονάζοντας, τῶν ἀνιάτων παθῶν διαφυλάττεις ἀτρώτους, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις πρεσβείαις σου.

**Ἦχος πλ. α΄.**

Τοῖς ἀσκητικοῖς ἀγῶσι σαυτὸν κατακοσμήσας, τῶν ἀπ' αἰῶνος Ὁσίων Γρηγόριε, σύσκηνος γέγονας, καὶ τὴν αὐτῶν ἀμέμπτως ζηλώσας πολιτείαν, ἀπείληφας τὸ βραβεῖον τῆς καρτερίας σου· κηρύττει γὰρ ἡ ἑῴα τὰ θαύματα, καὶ ἡ Ἱερά σου Μονὴ τὰ παλαίσματα, ἡ δὲ θεία λάρναξ



τοῖς ἐν αὐτῇ προσιοῦσι πηγάζει ἰάματα ἀοίδιμε, διὸ καὶ ἡμῖν ὄμβρισον σήμερον ψυχικὴν σωτηρίαν, καὶ κινδύνων ἀφάρπασον, καὶ παντὸς δεινοῦ ἐλευθέρωσον, ἔχεις γὰρ ὡς ἀληθῶς τὴν παῤῥησίαν πρὸς Κύριον.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ἔχει μὲν ἡ μακαρία σου ψυχὴ καὶ ἄσπιλος, πανόσιε Γρηγόριε, τὴν οὐράνιον Ἱερουσαλὴμ κατοικητήριον, ἧς τὰ τείχη ἐν ταῖς ἀχράντοις χερσὶ τοῦ ἀοράτου Θεοῦ ἐζωγράφηνται· ἔχεις δὲ καὶ τὸ πανέντιμον καὶ ἀσκητικώτατόν σου ἄντρον, σὺν τῇ θείᾳ σου ταύτῃ Μονῇ ἐπὶ τῆς γῆς, ἣν ἐν ἱδρῶσι τε καὶ πόνοις ἐδομήσω, εἰς ψυχῶν καθάρσιον· ἔνθα μονάζοντες, τὰς ἐλπίδας σοι τιθέμεθα, φρούρησον ἀοίδιμε τὴν ἐπωνυμοῦσάν σοι Ποίμνην, καὶ πόθῳ σοι κροτοῦσαν ἑορτήν, παῤῥησίαν ὡς ἔχων πρὸς Χριστὸν ὃν ἐθεράπευσας.

**Καὶ νῦν. — Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰς τὸν Στίχον στιχηρὰ προσόμοια.

**Ἦχος α΄. — Πανεύφημοι Μάρτυρες.**

Γρηγόριε ἔνδοξε ναός, τῆς Τριάδος γέγονας, καὶ τὸν Ναὸν τὸν πανάγιον, ἐν ᾧ τὸ σῶμά σου, εὐσεβῶς ἐτέθη, ποταμὸν ἀνέδειξας, ἀπείρων ἰαμάτων πανόλβιε, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στίχος : Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Λαβόντες τὸ λείψανον τὸ σόν, ἐκ τοῦ Ὄρους Ἅγιε, τῇ σῇ πατρίδι ἐκόμισαν, οἱ σοὶ θεράποντες,* ἐν αὐτῇ δ' ἀπαύστως ἐκτελεῖ τεράστια, τῇ χάριτι Χριστοῦ Πανοσίδιμε, ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στίχος: Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Παμμάκαρ Γρηγόριε τὴν σήν, εἰκόνα γηθόμενοι, πανευλαβῶς ἀσπαζόμεθα, καὶ ἀρυόμενοι, ἰαμάτων πλήθη, πόθῳ σε γεραίρομεν, καὶ πίστει ἐκτελοῦμεν τὴν μνήμην σου. ἀλλ' οὖν ἱκέτευε, τὸν Θεὸν ὃν ἐθεράπευσας, ὑπὲρ πάντων τῶν ᾠδαῖς τιμώντων σε.

**Δόξα. Ἦχος πλ. δ'.**

Ἀγάλλεται σήμερον ἡ Ἐκκλησία τοῦ Χριστοῦ, λαμπρυνομένη τῇ χάριτι, καὶ πιστῶς πανηγυρίζει τῆς Μονῆς σου τὰ συστήματα, ἐπὶ τῇ παρουσίᾳ τῆς τιμίας εἰκόνος σου, ἡγιασμένε Πάτερ Γρηγόριε, καὶ δοξάζει Χριστὸν τὸν διὰ σοῦ παρέχοντα ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον.

**Ἦχος α'. — Τοῦ λίθου σφραγισθέντος**

Ὡς Ἄγγελος ἐν βίῳ ἐγνωρίσθης Πατὴρ ἡμῶν, καὶ χάριν ἰαμάτων ἐκομίσω ἀοίδιμε, θαυμάσια τελέσας φοβερά,

* Ἐνταῦθα ὁ ὑμνογράφος εἰ μὲν ἐννοεῖ Γρηγόριον τὸν μαθητὴν τοῦ Ἁγίου Γρηγορίου τοῦ Σιναΐτου, μᾶς δίδει τὴν πληροφορίαν ὅτι οὗτος ἦν Σέρβος καὶ μετὰ τὸν θάνατόν του μετέφερον οἱ μαθηταὶ αὐτοῦ τὸ λείψανόν του εἰς τὴν Σερβίαν. Εἰ δ' ἐννοεῖ Γρηγόριον τὸν Σιναΐτην, τὸν καὶ πρώτιστον κτίτορα τῆς Μονῆς λανθάνει, καθόσον τὸ τοῦ Σιναΐτου λείψανον δὲν μετεφέρθη εἰς Σερβίαν, ἀλλὰ περιερχόμενος τὴν Μακεδονίαν, Βουλγαρίαν καὶ Σερβίαν ὁ Ὅσιος παρέδωκε τὸ πνεῦμα.



Γρηγόριε παθῶν φυγαδευτά, θεραπεύεις ἐν ἀγάπῃ, σὺν ταῖς ψυχαῖς καὶ τὰ σώματα μακάριε, δόξα τῷ εὐδοκήσαντι ἐν σοί, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πιστοῖς τὰ ἰάματα.

Ἕτερον ὅμοιον τοῦ Ἁγίου Νικολάου.

Νικόλαον τὸν μέγιστον Ἱεράρχην, καὶ τῆς οἰκουμένης φωστῆρα τιμήσωμεν ἐν ὕμνοις σὺν τούτῳ Γρηγόριον σοφόν, ἑῷας τὸν ἔκλαμπρον βλαστόν, καὶ δομήτορα τὸν θεῖον Μονῆς ἡμῶν, βοῶντες αὐτοῖς ἐν πίστει, ῥύεσθε πάσης βλάβης καὶ δεινῶν, ποίμνην ὑμᾶς γεραίρουσαν, ὑπὲρ ταύτης ἱλεούμενοι τὸν εὐδιάλλακτον.

**Ἕτερον. Ἦχος β'. — Ταχὺ προκατάλαβε**

Νικόλαον ᾄσμασι, τὸν Ἱεράρχην Χριστοῦ, σοφόν τε Γρηγόριον, τοὺς πολιούχους ἡμῶν, τιμήσωμεν κράζοντες, πάρεστε θεῖον ζεῦγος, τὴν γεραίρουσαν Ποίμνην, ταύτην ὑμᾶς ἀπαύστως, ἐπηρείας παντοίας, ταῖς θείαις ὑμῶν πρεσβείαις ἀπολυτρούμενοι.

**Ἕτερον. Ἦχος α'. — Τὸν τάφον σου Σωτήρ.**

Γρηγόριον ᾠδαῖς εὐφημήσωμεν πάντες ἑῴας τὸν βλαστὸν καὶ ὁσίων τὸ κλέος, Μονῆς τῆσδε δομήτορα, καὶ ἀπόρθητον ἔρεισμα, πίστει κράζοντες, μὴ διαλείπῃς παντοίων δεινῶν Ὅσιε, καθικετεύειν ἀπαύστως, τὴν ποίμνην σου σώζεσθαι.

**Θεοτοκίον.**

Τοῦ Γαβριὴλ φθεγξαμένου τὸ χαῖρε . . . .

Καὶ Ἀπόλυσις.

ΖΩΣΙΜΑΙΑ ΑΜΦΙΚΤΥΟΝΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΟΠΟΥΛΟΥ

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν ἑξάψαλμον, τὸ Θεὸς Κύριος, μετὰ τὴν πρώτην στιχολογίαν

**Κάθισμα. Ἦχος α΄. — Τὸν τάφον σου Σωτήρ.**

Ἀστράπτεις ἐν τῇ γῇ, τῶν θαυμάτων ἀκτῖσι, Νικόλαε σοφέ, καὶ κινεῖς πᾶσαν γλῶσσαν, εἰς δόξαν καὶ αἴνεσιν, τοῦ ἐν γῇ σε δοξάσαντος· ὃν ἱκέτευε, πάσης ἀνάγκης ῥυσθῆναι, τοὺς τὴν μνήμην σου, πίστει καὶ πόθῳ τιμῶντας, πατέρων ἐκλόγιον.

**Δόξα τοῦ Ἁγίου Γρηγορίου. Ὅμοιον.**

Ἐκ βρέφους τῷ Θεῷ, κολληθεὶς θεοφόρε, τοῦ Πνεύματος σεπτὸν καταγώγιον ὤφθης, καὶ τὰ πονηρότατα καθυπέταξας πνεύματα, ἐνασκήσας δέ, ἐν τῷ τοῦ Ἄθωνος ὄρει, χάριν εἴληφας, παρὰ Θεοῦ θεοφόρε, φρουρεῖν τοὺς τιμῶντάς σε.

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Ἀνύμφευτε Ἁγνή, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας, Κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις σου.

Μετὰ τὴν β΄. στιχολογίαν,

**Κάθισμα. Ἦχος δ΄. — Ταχὺ προκατάλαβε.**

Προστάτης θερμότατος, τῆς Ἐκκλησίας Χριστοῦ, ἐδείχθης Νικόλαε, τὰ τῶν αἱρέσεων, διδάγματα ἄθεα, λύων σῇ παῤῥησίᾳ, καὶ κανὼν ἀνεδείχθης, πᾶσιν ὀρθοδοξίας, ὑπὲρ πάντων πρεσβεύων, τῶν ἑπομένων σου θείαις, διδασκαλίαις καὶ εἰσηγήσεσι.



**Δόξα τοῦ Ἁγίου Γρηγορίου. Ὅμοιον.**

Ὁσίως διήνυσας τὴν πολιτείαν τὴν σήν, βραβεῖον τὰ θαύματα παρὰ Χριστοῦ τοῦ Θεοῦ, ἐδέξω Γρηγόριε, ὅθεν σὲ συνελθόντες κατὰ χρέος τιμῶμεν, πόθῳ τὴν σὴν Εἰκόνα, καὶ χαρᾷ προσκυνοῦντες, πλουσίως ἡμῖν πηγάζουσαν χάριν καὶ ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Ἁγνὴ παναμώμητε καὶ ἀπειρόγαμε, ἡ μόνη τὸν ἄχρονον, Υἱὸν καὶ Λόγον Θεοῦ, ἐν χρόνῳ κυήσασα, τοῦτον σὺν τοῖς Ἁγίοις καὶ σεπτοῖς Πατριάρχαις, Μάρτυσι καὶ Ὁσίοις, καὶ Προφήταις δυσώπει δωρήσασθαι ἡμῖν, ἱλασμὸν καὶ μέγα ἔλεος.

**Μετὰ τὸν Πολυέλεον κάθισμα. Ἦχος γ΄. — Τὴν ὡραιότητα.**

Ταῖς θείαις χάριτι, σὲ κατελάμπρυνε, Πνεῦμα τὸ Ἅγιον πάτερ Γρηγόριε, Θεῷ λατρεύσαντα πιστῶς, ὁσίως τε καὶ δικαίως, ὅθεν σὲ καὶ θαύμασι δαψιλῶς κατεκόσμησε· νόσους οὖν ἑκάστοτε, θεραπεύεις τῶν πίστει σου τῇ θείᾳ προσιόντων εἰκόνι, καὶ ἐν ᾠδαῖς σε τιμώντων.

**Δόξα τὸ αὐτό, καὶ νῦν Θεοτοκίον ὅμοιον.**

Θεομακάριστε Μήτηρ ἀνύμφευτε, τὴν ἀσθενοῦσάν μου ψυχὴν θεράπευσον, ὅτι συνέχομαι πολλοῖς, ἐν πταίσμασι Θεοτόκε. Ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου, δέξαι με πανάχραντε, τὸν πολλὰ ἁμαρτήσαντα, ἵνα ἐν παῤῥησίᾳ κραυγάζω σοι, χαῖρε ἡ Κεχαριτωμένη.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Οἱ ἀναβαθμοί. Τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου.**
**Προκείμενον, ἦχος δ΄.**
**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.**

Στίχος : Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

Τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον Ὁσιακὸν τοῦ Ἁγίου Σάββα, ὁ Ν΄. Ψαλμός.

**Δόξα : Ταῖς τοῦ σοῦ Ὁσίου. — Καὶ νῦν : Ταῖς τῆς Θεοτόκου.**
**Ἰδιόμελον ἦχος πλ. β΄.**

Θεία χάρις ἐκκέχυται πρὸ τῆς θήκης τῶν λειψάνων σου, ἡγιασμένε Πάτερ Γρηγόριε, διὸ καὶ εἰς ὀσμὴν μύρου τῶν θαυμάτων σου, πᾶσα ἡ Ἑῴα συῤῥέει, τὴν ἴασιν τῶν νοσημάτων ἀρυόμενοι· ἀλλὰ πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὅπως ἵλεως γενήσηται ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου, παρὰ τοῦ Ἱερέως. Καὶ οἱ κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ς΄. τοῦ Ἁγίου Νικολάου εἰς δ΄. καὶ τοῦ Ὁσίου Γρηγορίου εἰς δ΄.

Ὁ κανὼν τῆς Θεοτόκου, ποίημα Ἀνδρέου Κρήτης, οὗ ἡ ἀκροστιχίς : Θρήνων ἐμῶν δέχοιο, τὸν πρῶτον Κόρη, καὶ

**Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμὸς δίς.**

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται, αὕτη γὰρ ἀθάνατε, ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Θρήνων ἀπαρχὰς δεῦρο ψυχή, τῇ Θεοτόκῳ προσοίσομεν σήμερον· αὕτη γὰρ ἐῤῥύσατο, τῆς τοῦ Ἀδὰμ κατάρας τὸ ἀνθρώπινον, καὶ τὴν εὐλογίαν, καὶ χαρμονὴν ἐδωρήσατο.

Ῥείθροις Ἰορδάνου τὰ ἐμά, περισωθέντα οὐδόλως ἰσχύουσι, δάκρυα ἐκνίψασθαι, τὸν τῶν ἐμῶν ἁμαρτημάτων βόρβορον· ἀλλὰ σὺ Παρθένε, τῷ σῷ ἐλέει με κάθαρον.



Ἥλιον γεννήσασα Χριστόν, δικαιοσύνης Παρθένε τὸν ἄδυτον, φώτισόν μου δέομαι, τὰ τῆς ψυχῆς ἠμαυρωμένα ὄμματα, ἡδονῶν ἀχλύϊ, καὶ ἁμαρτίας παχύτητι.

Νόμους τοῦ Δεσπότου παραβάς, πᾶσαν ἰδέαν κακίας ἐτέλεσα· καὶ νῦν ἐπιστρέφοντα, μή με παρίδῃς τὸν ἀχρεῖον δοῦλόν σου, Δέσποινα Μαρία, ἀλλὰ οἰκτείρασα σῶσόν με.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Νικολάου, οὗ ἀκροστιχὶς κατ᾽ ἀλφάβητον χωρὶς τῶν Θεοτοκίων.

**Ἦχος ὁ αὐτός. — Χριστὸς γεννᾶται.**

Ἀπόρῳ γλώττῃ καὶ χείλεσιν, ἐγκώμιον βραχὺ καὶ παράκλησιν, προσάξαι τῇ σῇ Νικόλαε, ἥκω θεομιμήτῳ ὑπεροχῇ· ἀλλ᾽ ὡς πλουτοδότης, τὸν Σωτῆρα καὶ Θεὸν ἵλεων δίδου μοι.

Βροτὸς ὑπάρχων οὐράνιος, Ἰσάγγελος ἐν γῇ πεφανέρωσαι, χηρῶν ἀντιλήπτωρ μέγιστος, καὶ καταπονουμένων ἐκδικητής, πάντων θλιβομένων, ἐν κινδύνοις βοηθός, πάτερ Νικόλαε.

Γνωρίζει πᾶσα ὑφήλιος, Νικόλαε Τρισμάκαρ τὰ θαύματα, τῶν σῶν ἀρετῶν τὸ πέλαγος, πένητες τὸν προστάτην, καὶ ὀρφανοί, χῆραι τὸν τροφέα, καὶ τυφλοὶ τὸν ὁδηγόν, πάντες τὸν πρόμαχον.

**Θεοτοκίον.**

Ἀσπόρως Λόγον συνείληφας, τὸν ἕνα τῆς Τριάδος Πανάχραντε, καὶ τοῦτον σαρκὶ γεγέννηκας, μείνασα μετὰ τόκον ὥσπερ τὸ πρίν, τοῦτον ὡς Υἱόν σου, καὶ Θεὸν ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἕτερος Κανὼν τοῦ Ὁσίου Γρηγορίου.

**Ἦχος πλ. δ'. — Ἁρματηλάτην Φαραώ.**

Ὀρθοδοξίας ἀληθοῦς ὑπόθεσις, ἐστὶν ἡ μνήμη σου, θαυματουργὲ Πάτερ, Ὅσιε Γρηγόριε, τοῖς συνελθοῦσιν ἅπασιν καθαραῖς ταῖς καρδίαις, ὑμνῆσαι ταύτης τὸν αἴτιον καὶ τὸν ὑπερθαύμαστον βίον σου.

Ἀπὸ χειλέων ῥυπαρῶν τὴν αἴνεσιν, τολμήσας ᾄδω σοι, τῷ περὶ σὲ πόθῳ κάτοχος γενόμενος, καὶ τῇ ὁμωνυμίᾳ σου, ἀλλὰ σύγγνωθι πάτερ, καὶ δός μοι λόγον καὶ σύνεσιν, τοῦ προσενεγκεῖν σοι τὸν ἔπαινον.

Μὴ ἐνεγκὼν τὴν τῶν βαρβάρων ἔφοδον, θεῖε Γρηγόριε, τὴν ἐν τῷ Ἁγίῳ Ὄρει τῷ τοῦ Ἄθωνος, ἀζύγων τῷ συστήματι, τῷ ἐχθρῷ ἐνεχθεῖσαν, θείᾳ προνοίᾳ γεγένησαι τούτου μετανάστης μακάριε.*

**Θεοτοκίον.**

Δεδουλωμένος ἡδονῶν τοῖς πάθεσι, σὲ ἱκετεύω Ἁγνή, ὡς Θεοῦ Μητέρα, δοῦναι μοι τὴν ἄφεσιν, τῶν πονηρῶν μου πράξεων, καὶ βελῶν τοῦ Βελίαρ, τῶν καθ' ἑκάστην βαλλόντων με, λύτρωσιν κομίσασθαι Δέσποινα.

**Καταβασία. — Χριστὸς γεννᾶται δοξάσατε.**

**Ὠδὴ γ'. Ὁ Εἱρμὸς δίς.**

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι ἅγιος ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης φιλάνθρωπε.

* Ἐνταῦθα ὁ ὑμνογράφος ἐννοεῖ τὸν πρώτιστον κτήτορα Ἁγ. Γρηγόριον τὸν Συναΐτην, ὅστις κατὰ τὸν ἐν πλάτει βίον αὐτοῦ, ἅμα τῇ ἐμφανίσει τῶν βαρβάρων Ἀγαρηνῶν εἰς τὸ Ὄρος, ἐξῆλθεν αὐτοῦ, ἀναχωρήσας ἐκ τῆς τοποθεσίας Χρέντελι τῆς εὑρισκομένης πλησίον τῆς Μονῆς τοῦ Σίμωνος.



Ὡς πάλαι τὴν Εὔαν εὑρηκώς, ὁ ὄφις μὲ ἠπάτησε, καὶ ἡδονῆς τῇ γεύσει ἐξέβαλε τοῦ Παραδείσου τῆς θείας γνώσεως, ἡ Χριστὸν κυήσασα, τὸν Ἀδὰμ τὸν δεύτερον, πρὸς ζωὴν ἐπανάγαγε Δέσποινα.

Νοσήσας τοῦ Κάϊν δυστυχῶς, Παρθένε τὴν ἀπόνοιαν, ὡς ἀδελφὸν τὸν νοῦν μου ἀπέκτεινα, φιληδονίας ξίφει χρησάμενος, καὶ φθονήσας κάκιστα, τούτου τὴν ἀνάβασιν, ἀλλὰ σὺ ὡς φιλάνθρωπος σῶσόν με.

Ἐθρήνησε πάλαι ὁ Ἀδάμ, Ἐδὲμ ἀποικιζόμενος, τοῦ Χερουβὶμ τὴν εἴσοδον φράττοντος, πεσὼν ἐγὼ δὲ τῆς θείας γνώσεως, θρηνῶν ἱκετεύω σε, σὺν Ἁγίοις πρέσβευε, θεομῆτορ παθῶν λυτρωθῆναί με.

Μελέτη θανάτου ὦ ψυχή, ἀθλία προηγείσθω σου, ἐν ταῖς τοῦ βίου πράξεσι πάντοτε, καὶ θρῆνον λάβε, καὶ πένθος σύστησον, ἔχουσα μεσίτριαν, τὴν Ἁγνὴν καὶ Ἄμωμον, πρὸς Χριστὸν τὸν ἐκ ταύτης βλαστήσαντα.

**Τοῦ Ἁγίου Νικολάου — Τῷ πρὸ τῶν αἰώνων**

Δέλτον ἐν καρδίᾳ, κεκτημένος πολλῶν ἀρετῶν, ἐγγεγραμμμένην ἀθανάτῳ, καὶ ἀχράντῳ δακτύλῳ, Χριστοῦ τοῦ Θεοῦ Νικόλαε, ὑπὲρ κηρίον καὶ μέλι γλυκύ, στάζουσιν οἱ λόγοι σου.

Ἔδειξεν ἡ χάρις, ἐπὶ σὲ παραδόξως τὰ θαύματα, ἡ γὰρ φαιδρά σου πολιτεία, ὦ Νικόλαε ὄντως, χρυσοῦ παντὸς τηλαυγέστερον, ὑπεραστράπτει καὶ λάμπει ψυχαῖς, αἴγλη θείου πνεύματος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΑΝΤΩΝΗ ΠΑΠΑΣΤ…

Ζῆς καὶ μετὰ πότμον, ἐν ὀνείροις σαφῶς ὀπτανόμενος, καὶ Νεανίας ἐκ θανάτου, παραδόξως λυτροῦσαι, βοῶν ἐμφανῶς τῷ Ἄνακτι· μὴ ἀδικήσῃς τοὺς ἄνδρας, ἐπεὶ φθόνῳ διεβλήθησαν.

**Θεοτοκίον.**

Νέμοις Θεοτόκε, σωτηρίας ἐλπίδα τοῖς δούλοις σου καὶ ἐν ἀνάγκαις καὶ κινδύνοις, ταχυδρόμοις πρεσβείαις, φρουρεῖν βοηθεῖν παράστηθι. Σὺ γὰρ τὸ κλέος ἡμῶν τῶν πιστῶν πέλεις θεονύμφευτε.

**Τοῦ Ἁγίου Γρηγορίου. — Οὐρανίας ἁψῖδος.**

Τὸν Ἠλίαν ζηλώσας, καὶ Μωϋσῆν Ὅσιε, μῆκος ἡμερῶν ὡς ἐκεῖνοι, νηστείαν ἤνυσας, ἄρτον οὐράνιον, θεωριῶν οὐρανίων, ἐντρυφῶν τῇ χάριτι τοῦ Θείου Πνεύματος.

Ἱερῶν ἐξ ἀδύτων, ὡς φωταυγὴς ἥλιος, ὤφθης θεοφόρε τήνδε Μονήν σου δειμάμενος, ἐν τῇ τοῦ Ἄθωνος, εὐρυσθενεῖ ὑπωρείᾳ, ἥν περ καὶ κατέλιπες, σοῖς τέκνοις Ὅσιε.

**Δόξα.**

Ἀνυμνοῦμέν σε πόθῳ, διὰ παντὸς Ὅσιε πᾶσα ἡ πληθὺς, τῆς τοῦ Γρηγορίου Θεομακάριστε, καὶ ἐκβοῶμέν σοι ῥῦσαι τὴν ποίμνην σου ταύτην, ἐκ τῶν ὁρωμένων τε καὶ ἀοράτων ἐχθρῶν.

**Καὶ νῦν.**

Ἱερέων τὸ κλέος, τῶν μοναστῶν καύχημα, καὶ τῶν ἐν τῷ Ἄθῳ Ὁσίων στάθμη Γρηγόριε, ἡμῶν δὲ τῶν σῶν ἱκετῶν, ἀκαταμάχητον τεῖχος, δυσμενων τὰς φάλαγγας ἀποκρουόμενος.



**Καταβασία. — Τῷ πρὸ τῶν αἰώνων.**

Τὸ Κοντάκιον τοῦ Ἁγίου

**Ἦχος γ'. — Ἡ Παρθένος σήμερον.**

Ἐν τοῖς Μύροις Ἅγιε, Ἱερουργὸς ἀνεδείχθης, τοῦ Χριστοῦ γὰρ Ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας· ἔθηκας τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου, ἔσωσας τοὺς ἀθώους ἐκ τοῦ θανάτου, διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας μύστης θεοῦ τῆς χάριτος.

**Κάθισμα τοῦ αὐτοῦ. ἦχος δ'. Ταχὺ προκατάλαβε.**

Ταχὺ προκατάλαβε, Πάτερ Νικόλαε, καὶ σῶσον τοὺς δούλους σου, ἐπερχομένων ἡμῖν, κινδύνων καὶ θλίψεων, ἔχεις γὰρ πρὸς τὸν Κτίστην, καὶ Θεὸν παῤῥησίαν, πάρεσο οὖν ἐν τάχει, τοῖς πιστῶς σε καλοῦσι, τὴν σὴν νῦν προστασίαν καὶ σκέπην δωρούμενος.

**Δόξα τοῦ Ἁγίου Γρηγορίου. Ὅμοιον.**

Ἐπέστη φιλέορτοι, λαμπρὰ πανήγυρις, ἡ μνήμη ἡ ἔνδοξος, τοῦ Θεοφόρου Πατρός, εὐφραίνουσα τὰ σύμπαντα, λάμπουσα ταῖς ἀκτῖσι, καὶ θαυμάτων τῷ πλήθει, φέρουσα τοῖς ποθοῦσι, τὴν ἀέναον χάριν, ψυχῆς τε τὴν σωτηρίαν, καὶ βίον ἄμεμπτον.

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία Παναμώμε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων, σύντριψον μηχανίας, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέων Πάναγνε κατὰ τῶν δούλων σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Ὠδὴ δ΄. Ὁ Εἱρμὸς δίς.**

Ὄρος σὲ τῇ χάριτι, τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακοὺμ, κατανοήσας ὀφθαλμοῖς, ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν Ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ὢ τῶν σῶν θαυμάτων ἀπειρόγαμε Δέσποινα! ὅτι μεσίτρια βροτῶν, ἁμαρτωλῶν πρὸς τὸν ἐκ σοῦ τεχθέντα γεγένησαι, διὸ κἀμὲ ὑπὲρ βροτοὺς ἁμαρτήσαντα καταλλαγῆναι αὐτῷ ἐκδυσώπησον.

Νέκρωσον Παρθένε τῆς σαρκός μου τὸ φρόνημα, καὶ τῶν παθῶν τὰς προσβολὰς καὶ τῶν δαιμόνων τὰς βουλάς, ἀπράκτους ἀπέργασαι, καὶ τῆς ζωῆς τρίβους βαίνειν με ὁδήγησον, ἡ τὴν ζωὴν τῶν ἁπάντων κυήσασα.

Δάκρυσι καθᾶραι μολυσμοὺς τῆς καρδίας μου, ταῖς προστασίαις τῶν σεπτῶν Ἀγγέλων ποίησον Ἁγνή, ψυχῆς τε τὴν ζόφωσιν, καὶ τοῦ νοὸς τὰς ἐκτροπὰς ἀνακάλεσαι, καὶ ἀπαθείας πρὸς τρίβον ὁδήγησον.

Ἔννοιαν αἰσχίστοις λογισμοῖς κατεμόλυνα, καὶ τὴν ψυχὴν ταῖς ἡδοναῖς, τοὺς ἐπὶ Νῶε ὑπερβὰς αἰσχροῖς ἀτοπήμασι· διὸ βοῶ θεοκυῆτορ με οἴκτειρον, κατακλυσμοῦ νοητοῦ διασώζουσα.

**Τοῦ Ἁγίου Νικολάου. — Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.**

Ἡ κλῆσίς σου μόνη ἀληθῶς, ἐν πάσαις τῶν ἐθνῶν βουλαῖς, προσκαλουμένη θᾶττον ῥύεται, τοὺς κράζοντάς σοι θερμῶς, Ἱερὲ Νικόλαε, ὡς πρὶν στρατηλάτας ἐλυτρώσω, διάσωσον καὶ ἡμᾶς, ἐκ πάσης δεινῆς περιστάσεως.



Θρόνῳ παριστάμενος Θεοῦ, πρεσβεύειν ἐκτενῶς σοφέ, μὴ διαλείπῃς, ὑπὲρ πάντων ἡμῶν, τῶν σῶν πιστῶν ἱκετῶν, θαυμαστὲ Νικόλαε, ἵνα τοῦ πυρὸς τοῦ αἰωνίου ῥυσθῶμεν καὶ ἐξ ἐθνῶν, γλώσσης πονηρᾶς καὶ κακώσεως.

Ἰάματα βρύεις πανταχοῦ, τοῖς πίστει σοι προστρέχουσι, καὶ ἐκ δεσμῶν λυτροῦσαι ἅπαντας. Διὸ τὴν λύπην ἡμῶν, εἰς χαρὰν μετάβαλε, ταῖς σαῖς εὐπροσδέκτοις ἱκεσίαις, Νικόλαε φαεινέ, θραύων τὴν ὀφρὺν τῶν ἐχθρῶν ἡμῶν.

**Θεοτοκίον.**

Σὺ ὄντως ἐπέκεινα βροτῶν, Ἀγγέλων τε ὑπέρτιμος, θεογεννήτωρ Κόρη πέφηνας, τῶν πάντων γὰρ Ποιητήν, ἐν γαστρὶ συνείληφας, σάρκα ὑλικὴν ἠμφιεσμένον, τεκοῦσα δίχα σπορᾶς· ὢ! καινοπρεποῦς θεωρήματος.

**Τοῦ Ἁγίου Γρηγορίου. —Σύ μου ἰσχὺς Κύριε.**

Ὅλον σαυτόν, νεύμασιν ἐμπαρεχόμενος, τοῦ Δεσπότου, Ὅσιε Γρηγόριε, τῶν ἀρετῶν ἤρθης ἐμφανῶς, πρὸς ὑψηλοτάτην, καὶ θείαν ὄντως ἀκρώρειαν, κἀκεῖθεν ἰαμάτων, ποταμοὺς ἀναβλύζεις, τοῖς τὴν μνήμην σου πόθῳ γεραίρουσι.

Μένειν ἐντὸς ἥκιστα κόσμου ὑπέμεινας, ὄντως Πάτερ ἔχων ὁδηγοῦσάν σε, τὴν τοῦ Θεοῦ δύναμιν Χριστόν, ἐν δὲ τοῖς ἀβάτοις τοῦ Ἄθω ἐνδιαιτώμενος, σπηλαίοις* θεομάκαρ, ἀδεῶς πάντα φέρων, καὶ μελλόντων ἐλπίσι γηθόμενος.

Ὁ κατὰ σοῦ στρατὸς ποτὲ θρασυνόμενος, τῶν βαρβάρων, γέγονεν ὁ δείλαιος ἔργον βυθοῦ συναπολεσθείς, σὲ γὰρ

* Ἀντὶ τοῦ ὄρεσι κατὰ τὸ χειρόγραφον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἀοράτως, ἡ θεία χάρις διέσκεπεν, ἡμῶν προνοουμένη, διὰ σοῦ σωζομένων, τῶν τιμώντων σὲ μάκαρ Γρηγόριε.

**Θεοτοκίον.**

Νόμοι ἐν σοὶ κεκαινοτόμηνται φύσεως, ὑπὲρ φύσιν Λόγον γὰρ ἐκύησας, διὸ σὲ πίστει ἐκδυσωπῶ, ὑπὲρ τὴν φύσιν τὴν ἀνθρωπίνην πανάμωμε, πολλὰ ἡμαρτηκότα, καὶ Θεοῦ μακρυνθέντα, ἐπιστρέφοντα δέξαι καὶ σῶσόν με.

**Καταβασία. — Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.**
**Ὠδὴ ε΄. Ὁ Εἱρμὸς δίς.**

Ὁ φωτίσας τῇ ἐλλάμψει τῆς σῆς παρουσίας Χριστέ, καὶ φαιδρύνας τῷ Σταυρῷ σου τοῦ κόσμου τὰ πέρατα, τὰς καρδίας φώτισον φωτί, τῆς σῆς θεογνωσίας, τῶν Ὀρθοδόξως ὑμνούντων σε.

Χαλεπῆς με ἐκ φλογὸς τῆς γεέννης ἐξάρπασον, ἡ τεκοῦσα τῆς θεότητος πῦρ τὸ ἀπρόσιτον, καθ᾽ ἡμᾶς γενόμενον, θεανδρικῇ τῇ ὑποστάσει, Θεοκυῆτορ Πανάμωμε.

Οὐ πτοοῦμαι τὰς μελλούσας κολάσεις ὁ ἄθλιος, οὐ τὸ σκότος, οὐ βρυγμὸν τῶν ὀδόντων καὶ σκώληκα· οὐ τὸ πῦρ τὸ ἄσβεστον. Διὸ αἰτοῦμαί σε Παρθένε, τούτων με πάντων ἐκλύτρωσαι.

Ἴασαί μοι τῆς ψυχῆς τὰ ἀλγήματα Πάναγνε, ἡ τεκοῦσα τὸν τὰς νόσους ἡμῶν ἰασάμενον, τοῖς αὐτοῦ παθήμασι, τοῖς σωτηρίοις καὶ πανσέπτοις, ἵνα πιστῶς μεγαλύνω σε.

Οὐχ ὡς Λάμεχ νεανίσκον καὶ ἄνδρα ἀπέκτεινα, θεομῆτορ ἀλλὰ νοῦν καὶ τὸν λόγον τοῖς πταίσμασι, μὴ οὖν ἡ ἐκδίκησις, ταμιευθήτω μου τῇ κρίσει, ἀλλὰ ἐνταῦθα με κάθαρον.



**Τοῦ Ἁγίου Νικολάου. — Θεὸς ὢν εἰρήνης.**

Κηρύττει σου Πάτερ τὰ θαύματα νῦν, ἡ Μυρέων μεγίστη μητρόπολις, Λυκίων Ἐπαρχία τε, καὶ πᾶσα στρατιά, τὰς σὰς τερατουργίας, δι᾽ ὧν πάντας ἐκ πόνων, θλιβερῶν ἐλυτρώσω, ἀξιοθαύμαστε Νικόλαε.

Λιμὴν τῶν χηρῶν, καὶ πατὴρ ὀρφανῶν, βοηθὸς τῶν ἐν θλίψει πανάριστος, πενθούντων καταφύγιον, ποιμὴν καὶ ὁδηγός, πάντων τῶν πλανωμένων Νικόλαε ὑπάρχων, καὶ ἡμᾶς ἐκ κινδύνων, ταῖς σαῖς πρεσβείαις ἀπολύτρωσαι.

Μετέστης ἐκ γῆς, πρὸς ἀΰλους σκηνάς, ἔνθα βλέπεις τὸ ἄφραστον κάλλος Χριστοῦ, ἀγγέλων τοῖς στρατεύμασιν, ἐφάμιλλος δειχθείς, διὸ σὺν Ἀποστόλοις, καὶ Μάρτυσι χορεύων, ἐκτενῶς τῷ Σωτῆρι, Πάτερ Νικόλαε ἱκέτευε.

**Θεοτοκίον.**

Ἡ σωτήριος σκέπη, καὶ πάντων χαρά, ἡ προφθάνουσα τάχος καὶ σώζουσα, οἰκτείρισον καὶ νῦν ἡμᾶς, βοῶμέν σοι Ἁγνή, τοὺς σὲ προσκαλουμένους, ἀεὶ ἐν περιστάσει, προστασίαν γὰρ ἄλλην, μετὰ Θεὸν ἡμεῖς οὐκ ἔχομεν.

**Τοῦ Ἁγίου Γρηγορίου. — Ἵνα τί με ἀπώσω.**

Τὴν θαυμάτων πλουτοῦσαν, χάριν ἀνεξάντλητον, σορόν σου Ὅσιε, ἐν τῇ σῇ πατρίδι μετοικίζεις Ἱερὲ Γρηγόριε, ἧς τῇ πανηγύρει, ἐπικροτεῖ πιστῶν τὰ πλήθη, χαρισμάτων ἐνθέων πληρούμενα.

Μὴ παρίδῃς με Πάτερ, πίστει σοι προστρέχοντα, τὸν σοὶ ὁμώνυμον, γλῶσσαν γὰρ δολίαν, κατ᾽ ἐμοῦ οἱ μισοῦν-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τες ἐκίνησαν, πολεμοῦντες μάτην, τοῦ δυσφημῆσαι σὸν ἱκέτην, ἐξ ὧν πρόφθασον, ῥῦσαί με τάχιον.

Ἐν νυκτὶ καὶ ἡμέρᾳ, σὲ ἐπικαλοῦμαι, τὸν μέγαν προστάτην μου, ἐν παντί με τόπῳ, καὶ καιρῷ διατήρησον Ἅγιε, ἀπὸ πάσης βλάβης, καὶ ἐπηρείας τῶν φθονούντων, τὸν εἰς σὲ τὴν ἐλπίδα μου θέμενον.

**Θεοτοκίον.**

Ἱκεσίαν Παρθένε, κατ' ἀξίαν σοι νέμειν, Ἁγνὴ οὐ δύναμαι, ἀνωτέρα οὔση, Χερουβίμ τε καὶ πάσης τῆς κτίσεως, διὸ σὺν Γρηγορίῳ, τὸν Υἱόν σου δυσώπει, ὑπὲρ πάντων ἡμῶν τῶν προσφύγων σου.

**Καταβασία. — Θεὸς ὢν εἰρήνης.**

**Ὠδὴ ϛ'. Ὁ Εἱρμός, δίς.**

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ ἔστιν ὁ ῥυόμενος, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς, σῶσον τὸν λαόν σου Θεὸς ἡμῶν, σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Τὸ σῶμα κατεμόλυνα ταῖς πράξεσι, τὸν νοῦν ταῖς ἐνθυμήσεσι· τὰς αἰσθήσεις τῇ ἀφῇ τῶν ἡδονῶν, τούτων μοι τὴν ἴασιν χορήγησον, τοῖς σταλαγμοῖς ἐμῶν δακρύων, καμπτομένη θεοχαρίτωτε.

Ὁ χρόνος τῆς ζωῆς μου δεδαπάνηται ἐν ὕπνῳ καὶ ἀνέσει, καὶ τρυφῇ καὶ ῥεμβασμοῖς τῶν λογισμῶν, νῦν οὖν κἂν ἐν γήρᾳ με σωφρόνισον Μῆτερ Θεοῦ, καὶ πρὸς μετάνοιαν χειραγώγησον.

Νοσήσας τῶν πρὸ νόμου τὴν ἀπόνοιαν, ἀφρόνως ἐπεχεί-



ρησα, ὡς πύργωμα τὰς πράξεις τὰς αἰσχράς, ἄλλην ἐπὶ ἄλλῃ συναρμόσασθαι, σὺ οὖν Ἁγνὴ τῷ θείῳ με συνέτισον Πνεύματι.

Παγίδα μοι κεκρύφασι Πανύμνητε, οἱ ὄντως ὑπερήφανοι, καὶ σχοινίοις τῶν ἐμῶν ἁμαρτιῶν, βρόχους τοῖς ποσί μου διετείναντο, οὓς Ἀγαθή, ὡς ἀραχνίους μίτους διάλυσον.

**Τοῦ Ἁγίου Νικολάου—Σπλάγχνων Ἰωνᾶν.**

Νέος Ἀβραάμ, ἐδείχθης Νικόλαε, ὡς μονογενῆ υἱὸν προσάξας τὸν νοῦν τῷ Δεσπότῃ σου, ἀναιμάκτους θυσίας προσφέρων ἀεί, κἀντεῦθεν εὐλογήθης ὡς φιλόξενος, πάτερ, καὶ Τριάδος γέγονας, οἰκητήριον θεῖον καὶ ἄμωμον.

Ξένα καὶ φρικτά, ἐργάζῃ τεράστια, ἐν πάσῃ τῇ γῇ, καὶ ἐν θαλάσσῃ μακράν, κινδυνεύουσι ταχυδρόμοις λιταῖς ἐπιστάμενος, ἀσθενούντων ἰατρός, καὶ πτωχευόντων τροφεύς, νίκη, κατ' ἐχθρῶν φερώνυμος, τοῦ λαοῦ τοῦ πιστοῦ ἀναδέδειξαι.

Ὄμματι νοός, προβλέπων τὰ μέλλοντα, δογμάτων ὀρθῶν πάντας ἐνέπλησας ὁμοούσιον, τῷ Πατρὶ τὸν Υἱὸν καταγγέλλων ἡμῖν, τοῦ Ἀρείου τὴν μανίαν ἐξωλόθρευσας, στήλην, ὀρθοδόξου πίστεως, τὰ σεπτά σου προθεὶς κατορθώματα.

**Θεοτοκίον.**

Κλίνας οὐρανούς, ἐν Μήτρᾳ σου Πάναγνε, Χριστὸς βουληθεὶς ὅλος ἐσκήνωσεν, οὐ γὰρ ἔφερε, τῶν ἰδίων χειρῶν τὸ πλαστούργημα, καθορᾶν ὑπὸ τοῦ πλάνου τυραν-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

νούμενον, ἦλθε δουλομόρφῳ σχήματι, τὸ ἀνθρώπινον γένος λυτρώσασθαι.

**Τοῦ Ἁγίου Γρηγορίου.— Ἱλάσθητί μοι Σωτήρ.**

Ἀρύσασθε εὐλαβῶς, τῶν χαρισμάτων τοῦ Πνεύματος, καὶ σώματι καὶ ψυχῇ, πόθῳ ἀσπαζόμενοι, Γρηγορίου μάκαρος, Ἱερὰν Εἰκόνα, καὶ δεινῶν ἀπολυτρούμενοι.

Τὰς τῶν δαιμόνων ὁρμάς, ὑπὸ τοὺς πόδας συντρίβεσθαι, σῶν ταπεινῶν ἱκετῶν, Γρηγόριε ποίησον, πόθῳ γεραιρόντων σε, καὶ ἐν ὕμνοις κροτούντων, τὴν πανίερόν σου κοίμησιν.

Χαρᾷ καὶ πόθῳ ἡ σή, ποίμνη τὴν σὴν σεπτὴν μνήμην σήμερον, Γρηγόριε ἐκτελεῖ, Χριστὸν μεγαλύνουσα παρασχόντα χάριν σοι, βοηθεῖν τοῖς πίστει καὶ καρδίᾳ αἰτουμένοις σε.

**Θεοτοκίον.**

Ἡ σωτηρίας πηγὴ ταῖς Γρηγορίου ἐντεύξεσι, τὴν δέησιν ἱκετῶν, τῶν σῶν δέξαι Δέσποινα, σῷ Υἱῷ πρεσβεύουσα, καὶ Θεῷ τῶν ὅλων, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καταβασία.— Σπλάγχνων Ἰωνᾶν.**

**Κοντάκιον, ἦχος γ΄. — Ἡ Παρθένος σήμερον.**

Ἡ σὴ Ποίμνη σήμερον λαμπροφανῶς ἑορτάζει, τὴν σὴν μνήμην Ἅγιε, πνευματικῶς γηθομένη, χαίρει γάρ σε κεκτημένη ἄφθαρτον κλέος, ἄμαχόν τε προμαχῶνα κατ᾽ ἐναντίων, ἀκαταίσχυντόν τε πρέσβυν πρὸς τὸν Σωτῆρα, ᾧ εὐηρέστησας.



**Ἕτερον. — Ἐπεφάνης σήμερον.**

Ἐξ ἑῴας Ὅσιε ἐξανατείλας, τῶν χαρίτων ἅπασαν, ταύτην λαμπρύνεις ἀστραπαῖς, τῶν σῶν θαυμάτων Γρηγόριε, διὸ καὶ πόθῳ ἀεὶ μεγαλύνει σε.

**Ὁ Οἶκος.**

Τίς τὰς σεπτάς σου ἀρετὰς ἀξίως καὶ ἱκανῶς ἀναμνήσει θεόφρον Πάτερ Γρηγόριε, τὴν σωφροσύνην, τὴν ὑπομονήν, τὴν ταπείνωσιν, τὰς πρὸς Θεὸν ἀπαύστους ὑμνῳδίας, τὴν ἄκραν σκληραγωγίαν, καὶ ἄμετρον ἐγκράτειαν, δι᾽ ὧν Ἀγγέλοις ἐφάμιλλος γενόμενος, πρεσβεύεις ἀεὶ ὑπὲρ παντὸς τοῦ κόσμου, ἐξαιρέτως δὲ ὑπὲρ τῆς Ποίμνης σου ταύτης, ἥτις καὶ πόθῳ ἀεὶ μεγαλύνει σε.

Τῷ αὐτῷ Μηνὶ ζ΄. μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γρηγορίου τοῦ ἀνεγείραντος τὴν εὐαγῆ ταύτην Μονήν, οὗ καὶ τὴν ἐπωνυμίαν μέχρι καὶ τῆς σήμερον φυλάττει.

Στίχος: Ὁ Γρηγόριος ἐν τῇ γῇ γρηγορήσας.
Στίχος: Τοὺς οὐρανοὺς νῦν κατοικεῖ σὺν Ἀγγέλοις.
Ἑβδομάτῃ Δεκεμβρίοιο πόλον κατῴκησεν Γρηγόριος.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς.

**ᾨδὴ ζ΄. Ὁ Εἱρμός. (δίς).**

Σὲ νοητὴν Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοί, ὡς γὰρ παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυψούμενος, κόσμον ἀνεκαίνισεν ἐν τῇ γαστρί σου ὁλόκληρον, ὁ αἰνετὸς τῶν πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ῥῆξον Ἁγνὴ δεσμοὺς τῆς καρδίας μου, λήθην καὶ ἄγνοιαν δεινὴν καὶ πώρωσιν τῆς ψυχῆς, καὶ ἠλιθιότητα, δι᾽ ὧν συνδεσμούμενος, ὁ νοῦς μου τρέχειν οὐ δύναται, πλατυσμὸν θεωρίας, καὶ ὕψος θείας γνώσεως.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ω τῶν ἐμῶν παθῶν καὶ κινήσεων, ὢ τῶν ἀμέτρων μου κακῶν! Ποῖον αἶσχος αἰσχροποιόν, οὐκ ἀφρόνως πέπραχα; Ποῖον οὐκ ἐτέλεσα, ἡδυπαθείας ἁμάρτημα; Σὺ οὖν Ἁγνὴ κἂν ἐν γήρᾳ μετάνοιάν μοι δώρησαι.

Τὴν ἐν ἐμοὶ ῥαθυμίαν Δέσποινα, καὶ νυσταγμὸν τὸν χαλεπόν, ταῖς ἀγρύπνοις σου πρὸς Θεόν, δέομαι δεήσεσιν, Ἄχραντε ἀπέλασον, καὶ μελῳδοῦντά με οἴκτειρον, ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Οἴμοι ψυχή, πῶς ἀπηναισχύντησας, ὑπὲρ τὸν Χὰμ τὸν ἀναιδῆ! οὐκ ἐκάλυψας τὴν αἰδῶ, τοῦ σοι πλησιάζοντος, φύσει τε καὶ χάριτι ἀλλ᾽ ἀπανθρώπως ἐφαύλισας· νῦν οὖν θερμῶς πρὸς τὴν εὔσπλαγχνον Κόρην μετανόησον,

**Τοῦ Ἁγίου Νικολάου. — Οἱ παῖδες εὐσεβείᾳ.**

Παντοίων χαλεπῶν τε νοσημάτων, ἰατρὸς πανάριστος, Πάτερ Νικόλαε φανείς, τῆς ψυχῆς μου τὴν ἀσθένειαν ἰασάμενος παράσχου εὐρωστίαν βοᾶν· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ῥυσάμενος τοὺς πάλαι Στρατηλάτας, ἐκ θανάτου Ἅγιε, τούτους διήγειρας ὑμνεῖν, καὶ δοξάζειν τὸν Σωτῆρα Χριστόν, μετὰ πίστεως θερμῆς, καὶ ἀνακράζειν σοι, σὲ ἀνευφημοῦμεν, Σοφὲ ὡς εὐεργέτην.

Σοφίας τῷ κρατῆρι πλησιάσας, μυστικῶς τὰ χείλη σου Πάτερ Νικόλαε, κρουνοὺς ἀμβροσίας ἔνθεν ἤντλησας, ὑπὲρ μέλι καὶ κηρίον τοῖς λαοῖς ἐκβοῶν, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.



**Θεοτοκίον.**

Ἐκ πάντων δεχομένη τὰς δεήσεις, Θεοτόκε πρέσβευε, τῷ σῷ υἱῷ καὶ Θεῷ, λυτρωθῆναι τῆς κολάσεως, τοὺς τιμῶντας σε κυρίως καὶ δοξάζοντας, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

**Τοῦ Ἁγίου Γρηγορίου.—Παῖδες Ἑβραίων ἐν καμίνῳ.**

Ὅτε τὸ στῖφος τῶν βαρβάρων, πλοιαρίοις συνεκύκλωσε τὸν Ἄθω, τότε τοῦτο σοφέ, βουλὰς διασκεδάσας, ὅλον σαυτὸν ἐπέδωκας, ἀρωγὸν τοῖς ἐνοικοῦσι.

Ῥείθροις κατέπαυσας δακρύων, παναοίδιμε τὸ θράσος τῶν βαρβάρων, κυκλωσάντων ποτὲ Μονήν σου τὴν ἁγίαν, τῷ ἰσχυρῷ γὰρ κέκραγας ἀντιλήπτορι καὶ ῥύστῃ.

Ὄρος τοῦ Ἄθω ἐγκαυχᾶται, τοῖς ἀγῶσι σου Γρηγόριε Τρισμάκαρ, ἡ Ἑῴα δὲ ὡσαύτως τοῖς θαύμασί σου χαίρει, ἡ Γρηγορίου δὲ Μονή, ἐν τῇ σῇ ὁμωνυμίᾳ.

**Θεοτοκίον.**

Λύσιν παράσχου μοι πταισμάτων, ὧν ἀφρόνως διετέλεσα ὁ τάλας, καὶ ὁσίως ἐμὲ ἀξίωσον βιῶσαι, τὸν εὐτελῆ ἱκέτην σου, καὶ ἀνάξιον Παρθένε.

**Καταβασία. — Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες**

**Ὠδὴ η΄. Ὁ Εἱρμός. (δίς).**

Ἐν καμίνῳ παῖδες Ἰσραήλ, ὡς ἐν χωνευτηρίῳ τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ ἀπέστιλβον λέγοντες: Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Νεκρωθεῖσα τάλαινα ψυχή, δεινῶς τῇ ἀμελείᾳ, ἐγέρθητι ὡς ἐξ ὕπνου, καὶ μεσιτρίαν ποιοῦ, τὴν μόνην ἀπείρανδρον Θεοτόκον· ὅπως σὲ τρόποις ζωώσῃ μετανοίας, καὶ τῆς ἀπαθείας καθυποδείξῃ τρίβους.

Κοίμισόν μου δὴ τὰς ἐμπαθεῖς ὀρέξεις, παθῶν τε τῶν ψυχοφθόρων τὰ ἰνδάλματα Ἁγνή, εἰς τέλος ἐξάλειψον Θεομῆτορ, ἵνα δοξάζω ἀεὶ καὶ εὐλογῶ σε, τὴν μόνην αἰτίαν τῆς πάντων σωτηρίας.

Ὁλοτρόπως πᾶσαν ἡδονήν, ἐτέλεσα ἀφρόνως, καὶ πάσας μου τὰς αἰσθήσεις κατεμόλυνα αἰσχρῶς, πρὸς σὲ τὴν ἀμόλυντον καταφεύγω Δέσποινα πάντων ἁμαρτωλῶν προστάτις, ῥῦσαι τοῦ πυρός με, καὶ σκότους αἰωνίου.

Ῥαντισμῷ δακρύων μου Ἁγνή, ἀπόπλυνον τὰ ἕλκη, καὶ τραύματα τῆς ψυχῆς μου, ἡ τεκοῦσα τὸν Χριστόν, τὸν λεπροὺς ἰώμενον καὶ αἱμόρρους, ὅπως ἀκούσω φωνῆς τῆς ποθουμένης· σώζου τῇ σῇ πίστει, πορεύου εἰς εἰρήνην.

### Τοῦ Ἁγίου Νικολάου. — Θαύματος ὑπερφυοῦς.

Τάγματα Πατριαρχῶν καὶ Ἀποστόλων, Ἱερέων τε Μαρτύρων δῆμοι, Προφητῶν ὁ σύλλογος, ἅπας δῆμος τῶν εὐσεβῶν, μακαρίζουσι τὴν θείαν πολιτείαν σου, μεθ᾽ ὧν καὶ ἡμεῖς παρακαλοῦμέν σε· μὴ ἐλλείπῃς ἀεὶ πρεσβεύων πρὸς Κύριον, διαφυλαχθῆναι, ἡμᾶς ἐκ πάσης βλάβης.

Ὕψιστε παμβασιλεῦ μεγαλοκράτορ, ταῖς εὐχαῖς τοῦ Ὁσίου Ποιμένος, τὴν ζωὴν εἰρήνευσον, Πάντων Λόγε Χριστιανῶν, χορηγῶν κατὰ βαρβάρων εὐσεβεῖ Βασιλεῖ, τὴν



νίκην καὶ τὴν ἰσχὺν δεόμεθα· ἵνα πάντες ἀεὶ ὑμνῶμεν τὸ κράτος σου, καὶ ὑπερυψῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Φωτὶ ἐλλαμφθεὶς τῷ ἀπροσίτῳ πάτερ, τὰς ψυχὰς τῶν ἐν θλίψει αὐγάζεις, διαλύων ἅπαντα, ζόφον σκότους τῶν πειρασμῶν, ἀπαστράπτεις εὐφροσύνῃ τὰς καρδίας ἡμῶν, ἐν αἷς τηλαυγῶς καταλαμπόμενοι, ἐκβοῶμεν, εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούσθω εἰς πάντας τοὺς αἰῶνας.

### Θεοτοκίον.

Πράγματος ξενοπρεποῦς ἡ βάτος τύπον, προεικόνισεν Ἄχραντε Κόρη, καιομένη ἄφλεκτος, πάλαι ὄρει ἐν τῷ Σινᾶ, τὸ Μυστήριον τοῦ τόκου σου προγράφουσα, τὸ πῦρ γὰρ ἐν σοὶ τὸ τῆς Θεότητος ἐνοικῆσαν, ἀλώβητόν σε τετήρηκε· διὸ σὲ ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

### Τοῦ Ἁγίου Γρηγορίου — Ἑπταπλασίως κάμινον

Ὥς περ χρυσὸν τὸ σκῆνός σου, τῇ πατρίδι σου δέδωκας· ὡς θησαυρὸν μέγαν, ἐκτελεῖν παράδοξα, Θεὸς γὰρ βραβεύει σοι, ὃν ἐθεράπευσας ἐκ ψυχῆς, ὦ Γρηγόριε Πάτερ, τοῖς πίστει προσιοῦσι, καὶ θερμῶς ἐκβοῶσι, Χριστὸν ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Προσυπαντᾷ Θεσπέσιε, Ἱερέων ὁ θίασος, ἅμα φιλοχρίστῳ τε λαῷ Γρηγόριε, τῇ σῇ σορῷ ἅπαντες, ἐν εὐφροσύνῃ ψυχῆς πολλῇ, τὸν δημιουργὸν καὶ χορηγὸν ἐκβοῶντες, οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, ἡμῖν τὸν παρασχόντα, τὸν φύλακα καὶ ῥύστην.

Ὡς τοῦ Χριστοῦ θεράποντα, διὰ βίου γενόμενον, καὶ οἰ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ • ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κειωθέντα, ἀρεταῖς τῷ κτίστῃ σου, σὲ μάκαρ Γρηγόριε, ἐκλιπαροῦμεν ὑπὲρ ἡμῶν, τῶν τὴν Ἱεράν σου ἑορτὴν ἐκτελούντων, συντόνως τῷ Δεσπότῃ, ἱκεσίας προσάγειν, ὅπως τῆς αἰωνίου κολάσεως ῥυσθῶμεν.

**Θεοτοκίον.**

Ιχνηλατεῖν με Πάναγνε, τοὺς ὁσίως βιώσαντας, διὰ πολιτείας ἐναρέτου ποίησον, ἐχθροὺς καταῤῥάσσουσα, τοὺς ἀφειδῶς με θλίβοντας νῦν, καὶ πρὸς τῆς σαρκὸς κατολισθαίνειν τὰ πάθη, ἀπαύστως ἐνοχλοῦντας, ἵνα χαίρων κραυγάζω, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

**Καταβασία. — Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος**
**Ὠδὴ θ.' Ὁ Εἱρμός, δὶς**

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος, καὶ νῦν καθ' ἡμῶν τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σὲ Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.

Ηδη πρὸς τῷ τέλει γέγονα, τῶν χρονικῶν μου Κόρη φεῦ μοι ὑπάρξεων, καὶ βαρούμενος, ταῖς ἁμαρτίαις ἀπέρχομαι, εἰς ἀπείρους αἰῶνας κολάζεσθαι, ἡ τὸν κριτὴν τεκοῦσα, τοῦτον ἱλέωσαί μοι Δέσποινα.

Νόμους τοῦ Θεοῦ ἠθέτησα, καὶ ἁμαρτίας νόμῳ ἐμαυτὸν ἐδούλωσα, νόμῳ τοῦ νοός, οὐχ ὑποκύψας ὁ ἄθλιος, ἡ τοὺς νόμους λαθοῦσα τῆς φύσεως, ἐν τῷ σεπτῷ σου τόκῳ, νόμους σαρκός μου καθυπόταξον.

Αρον τὸ βαρὺ φορτίον μου, τῶν ἐγκλημάτων Θεοτόκε Πανάμωμε, καὶ τὸν ἐλαφρόν, Ἁγνὴ ζυγὸν καταξίωσον,



τοῦ Υἱοῦ καὶ Θεοῦ σου βαστάζειν με, καὶ τρίβον διοδεύειν, τὴν πρὸς τὴν ἄνω λῆξιν ἄγουσαν.

Ινα τὸν βυθὸν τὸν ἄπειρον, τῶν οἰκτιρμῶν ἐνδείξῃς, τῆς σῆς χρηστότητος, καὶ τὴν εὐσπλαγχνίαν, τοῦ Υἱοῦ σου Πανύμνητε, ὑπὲρ πάντας κἀμὲ ἁμαρτήσαντα, συγχώρησιν μοι δίδου, καὶ παραδείσου τὴν κατοίκησιν.

**Τοῦ Ἁγίου Νικολάου.— Μυστήριον ξένον**

Χορεύσατε πνεύματι, πάντες φιλέορτοι, οὐρανοὶ εὐφραίνεσθε, Ὄρη καὶ Βουνοί, Ἐκκλησίαι, καὶ Παρθένων χοροί, Ἀσκητῶν ἐν τῇ μνήμῃ τοῦ Παμμάκαρος ἐν ᾗ συνελθόντες, τὸν Σωτῆρα μεγαλύνωμεν.

Ψαλλάτωσαν ὕμνοις τὰ πέρατα ἅπαντα, ἐγκωμίων στέμμασι, πάντες τὴν κορυφὴν Νικολάου, τοῦ θείου κοσμοῦντες, σοφῶς, τοῦ θεράποντος Χριστοῦ τοῦ Θεοῦ, δι' οὗ ἐκ παθῶν τε καὶ κινδύνων λυτρωθείημεν.

Ως ἀνάξιον δέχου, τὸν ὕμνον Νικόλαε, τοῦ μικροῦ ποιήματος, τούτου ὥσπερ Χριστός, προσεδέξατο τῆς χήρας τὰ δύω λεπτά, μὴ βδελύξῃ με τὸν ἄθλιον, ποθῶν, οὐ κομπάζων γὰρ τρισμάκαρ, κατετόλμησα.

**Θεοτοκίον.**

Διέσωσται πᾶσα, ἡ κτίσις τῷ Τόκῳ σου, καὶ ἀφεῖλε Κύριος θρῆνον καὶ ὀδυρμόν, καὶ πᾶν δάκρυον, ἐκ παντὸς προσώπου Ἁγνὴ Θεοτόκε Παναμώμητε ἐν σοὶ καὶ ἡμεῖς τὰς ὀφειλὰς ἀποπληροῦμεθα.

**Τοῦ Ἁγίου Γρηγορίου.— Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς**

Ανέτειλε Χριστὸς σοὶ ἄνωθεν φῶς, ὑπωρείαις μονάζοντι Ἄθωνος, ὅθεν Μονὴν ἐδομήσω μάκαρ περιφανῆ Ἀρ-

ΒΕΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ

χιεράρχῃ θείῳ τε κλεινῷ Νικολάῳ θαυματουργῷ μεθ᾽ οὗ καὶ νῦν δυσώπει, ἀτρώτους διαμένειν, τοὺς ἐν αὐτῇ καλῶς μονάζοντας.

Οἱ πόθῳ ἐνοικοῦντες τῇ σῇ Μονῇ Πανσεβάσμιε Πάτερ Γρηγόριε, τὴν σὴν σεπτήν, ἀναλογιζόμενοι βιωτήν, ὑψοποιὸν ταπείνωσιν, τὸ ἐν ἀγρυπνίαις καὶ προσευχαῖς, νηστείαις ὑπὲρ φύσιν, πληρούμεθα δακρύων, καὶ σὲ ἐκ πόθου μακαρίζομεν.

Σὺν πᾶσι τοῖς Ἁγίοις Πάτερ σοφέ, Ἀποστόλοις Ὁσίοις καὶ Μάρτυσι, καὶ τοῖς χοροῖς, τῶν Θείων Ἀγγέλων χοροβατῶν, τῷ Θείῳ Ἱεράρχῃ τε, Μύρων τῆς Λυκίας ἀεὶ συνών, πανσέπτῳ Νικολάῳ πρεσβείαις ἐκτελεῖτε, ὑπὲρ ἡμῶν τῶν ἀνυμνούντων ὑμᾶς.

**Θεοτοκίον.**

Ὑπέρφωτε νεφέλη Μήτηρ Θεοῦ, τοῖς ἡμᾶς πολεμοῦσι πολέμησον, τῇ κραταιᾷ, καὶ παντοδυνάμῳ σου δεξιᾷ, καὶ ἐν ἀνάγκαις πρόστηθι, καὶ ἀδικουμένων ἀντιλαβοῦ δεινῶν ἐξαιρουμένη, δύνασαι γὰρ ὡς θέλεις, ἀεὶ λυτροῦσθαι τοὺς ἱκέτας σου.

**Καταβασία.—Μυστήριον ξένον.**

**Ἐξαποστειλάριον—Γυναῖκες ἀκουτίσθητε.**

Τὸν μέγαν ἀρχιποίμενα, καὶ Ἱεράρχην ἅπαντες, τὸν πρόεδρον τῶν Μυρέων, Νικόλαον εὐφημοῦμεν, πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνήσκειν μέλλοντας, καὶ Βασιλεῖ ὀπτάνεται, σὺν Ἀβλαβίῳ κατ᾽ ὄναρ, λύων τὴν ἄδικον ψῆφον.



**Τοῦ ἁγίου Γρηγορίου.—Ὅμοιον.**

Ἡ θήκη τῶν λειψάνων σου, Γρηγόριε μακάριε, πάθη ποικίλα ἰᾶται, τῶν προστρεχόντων ἐν πίστει, καὶ ᾠδαῖς τιμώντων σε, διὸ πανηγυρίζομεν τὴν φωτοφόρον μνήμην σου ἐν ᾗ Χριστὸν ἐκδυσώπει, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων.

**Ἕτερον Ὅμοιον**

Γρηγόριον τιμήσωμεν, τὸν Ἱερὸν φιλέορτοι, τὸν ἐν τῷ Ὄρει τοῦ Ἄθω, ἀνύσαντα τοὺς ἀγῶνας, καὶ πρὸς αὐτὸν βοήσωμεν, χαίροις Ὁσίων σέμνωμα, ἡμῶν δὲ μέγα καύχημα, τῶν τῇ Μονῇ σου οἰκούντων, καὶ σὲ ἀπαύστως τιμώντων.

**Θεοτοκίον ὅμοιον.**

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Παναγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

---

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ.

Πᾶσα πνοή.—Ἱστῶμεν στίχους ϛ΄.

**Τοῦ Ἁγίου Νικολάου ἦχος α΄.—Τῶν οὐρανίων ταγμάτων.**

Τῆς ἐκκλησίας τὰ ἄνθη περιιπτάμενος, ὡς νοητὸς τῆς ἄνω, καλιᾶς τῶν Ἀγγέλων, Νικόλαε Τρισμάκαρ κράζεις ἀεί, πρὸς τὸν Θεὸν ὑπὲρ πάντων ἡμῶν, τῶν ἐν ἀνάγκαις κινδύνων καὶ πειρασμῶν, καὶ λυτροῦσαι ταῖς πρεσβείαις σου.

Τῆς Ἱερᾶς διπλοΐδος τὴν ὡραιότητα, ταῖς πρακτικαῖς εἰργάσω, ἀρεταῖς λαμπροτέραν, Πάτερ Θεοφόρε, ὅθεν

ἡμῖν, ἱερουργεῖς τὰ τεράστια, τῶν ἀοιδίμων θαυμάτων Ἱερουργὲ τῶν δεινῶν ἡμᾶς λυτρούμενος.

Ὡς ἐν ὀνείρῳ ἐπέστης τῷ εὐσεβεῖ Βασιλεῖ, καὶ τοὺς δεσμώτας Πάτερ, ἐκ θανάτου ἐρρύσω, πρέσβευε ἀπαύστως, ὅπως καὶ νῦν, ταῖς εὐχαῖς σου ῥυσθείημεν, ἐκ πειρασμῶν, καὶ κινδύνων, καὶ ὀδυνῶν, οἱ ἀξίως εὐφημοῦντες σε.

**Ἕτερα γ΄. τοῦ Ἁγίου Γρηγορίου ὅμοια.**

Σοῦ ἡ σορὸς τῶν λειψάνων ἀνακηρύττει τρανῶς, τὴν χάριν τῶν θαυμάτων, ἣν θεόθεν ἐδέξω Γρηγόριε τρισμάκαρ, δι᾽ ὧν ἀσθενεῖς, ἐμπαθεῖς τε καὶ πάσχοντες οἱ τὴν ἑῴαν οἰκοῦντες ταῖς σαῖς λιταῖς, ὑγιεῖς ἀποκαθίστανται.

Ἡ τῶν λειψάνων σου θήκη, θαυμάτων βλύζει πηγάς, τοῖς εὐλαβῶς καὶ πίστει, ἐν αὐτῇ προσιοῦσι Ἑῴα δὲ ἀγάλλεται πάτερ σοφέ, ἐπὶ ταύτῃ καὶ γάννυται, ἡ δὲ Μονή σου κηρύττει πόνους τοὺς σούς, καὶ τὰ ἔνδοξα παλαίσματα.

Τοῦ Γρηγορίου τὴν μνήμην νῦν ἑορτάζομεν, δι᾽ ἧς ἡμῖν πηγάζει, ἡ ἀένναος χάρις, Χριστοῦ τοῦ ζωοδότου, καὶ γὰρ αὐτός, τοὺς ἐχθροὺς τροπωσάμενος τοὺς νοητούς, τῶν δαιμόνων καὶ τῶν παθῶν, τὴν ἐξουσίαν ἐκομίσατο.

**Δόξα. Ἦχος πλ. δ΄.**

Δεῦτε πᾶσα ἡ Ἑῴα, ἐν ᾠδαῖς πνευματικαῖς καταστέψωμεν τὸ πανσέβαστον σκῆνος τοῦ Θεοφόρου πατρὸς ἡμῶν, καὶ πιστῶς ἐκβοήσωμεν, χαίροις ἡ τῶν θαυμάτων πηγή, καὶ τῶν νοσούντων ταχὺς θεραπευτής, χαίροις ἡ



τῶν λυπουμένων παραμυθία, καὶ τῶν ἐν κινδύνοις ἀπροσμάχητος σωτηρία, ἀλλ᾽ ὦ πάτερ Γρηγόριε, ὡς τὰς ἐφόδους ποτὲ τῶν βαρβάρων διεσκέδασας, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, καὶ τὴν σὴν σεπτὴν Μονὴν ἀβλαβῆ διεφύλαξας, οὕτω καὶ νῦν, τοὺς ἐν αὐτῇ τιμῶντάς σε, καὶ ἐκ πόθου τελοῦντας τὴν σεβάσμιον μνήμην σου, ἐκ πάσης ἐπιδρομῆς καὶ βλάβης τοῦ ἀντικειμένου ἐλευθέρωσον, καὶ πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. — Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

---

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

*Δίδεται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς ἐκ τῆς κανδήλας τοῦ Ἁγίου Γρηγορίου.*

Εἰς τὴν Λειτουργίαν.

*Τυπικά, καὶ ἀπὸ τὸν κανόνα τοῦ Ἁγίου Νικολάου ᾠδὴ γ΄. καὶ ς΄. ἐκ τοῦ Ἁγίου Γρηγορίου.*

*Ἀπόστολον καὶ Εὐαγγέλιον ὁσιακόν, καὶ τῶν Κεκοιμημένων.*

*Κοινωνικόν. — Εἰς Μνημόσυνον αἰώνιον.*

## ΜΕΓΑΛΥΝΑΡΙΑ

Χαίροις τῆς Ἑῴας θεῖος βλαστός, χαίροις τῶν ἐν τῷ Ἄθῳ μοναζόντων ὑπογραμμός, χαίροις τῆς Μονῆς σου, προπύργιον καὶ κλέος, Γρηγόριε τρισμάκαρ, φρούρει τὴν ποίμνην σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΤΟΥ

Χαίροις τῆς Ἑῴας βλαστὸς σεπτός, τῶν ἐν Ἄθῳ μοναζόντων στάθμη τε καὶ κανών, καὶ Μονῆς σου ταύτης ἀκοίμητος προστάτης, Γρηγόριε τρισμάκαρ, ἣν φρούρει ἄτρωτον.

Ἔχει δὲ τὸ πνεῦμά σου οὐρανός, καὶ ἡμεῖς πλουτοῦμεν, τὴν εἰκόνα τὴν σεπτήν, ἣν περικυκλοῦντες μετ᾽ ἀνεικάστου πόθου, τιμῶντες προσκυνοῦμεν αὐτὴν Γρηγόριε.

Ἀκολουθία τοῦ Ὁσίου Πατρὸς ἡμῶν

# ΓΡΗΓΟΡΙΟΥ

τοῦ Κτίτορος τῆς Σεβασμίας καὶ Ἱερᾶς Μονῆς τοῦ Ἁγίου Νικολάου τοῦ θαυματουργοῦ τῆς ἐν Ἁγίῳ Ὄρει Ἄθῳ.

Ψαλλομένη τῇ Τρίτῃ Κυριακῇ τοῦ Ματθαίου ἤτοι μετὰ τῶν Ἁγίων Πάντων.

## Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια

**Ἦχος δ΄. — Ἔδωκας σημείωσιν.**

Βίον ἀκηλίδωτον, ὑπομονὴν καὶ πραότητα, καὶ ἀγάπην ἀνόθευτον, ἐγκράτειαν ἄμετρον, παννύχιον στάσιν, κατάνυξιν θείαν, πίστιν ἐλπίδα ἀληθῆ, ἐν συμπαθείᾳ πάτερ κτησάμενος ὡς ἄγγελος ἐβίωσας, ἐν τῷ Ὄρει τοῦ Ἄθωνος, σοφὲ Γρηγόριε, τῆς Μονῆς σου τὸ καύχημα. (δὶς)

Ἐπίγειος Ἄγγελος, καὶ ἐπουράνιος ἄνθρωπος, ἐχρημάτισας Ὅσιε, πηγὴ κατανύξεως συμπαθείας ῥεῖθρον, πέλαγος θαυμάτων, ἁμαρτωλῶν ἐγγυητής, ἐλαία ὄντως Θεοῦ κατάκαρπος, ἐλαίῳ τῶν καμάτων σου, καθιλαρύνων τὰ πρόσωπα, πάτερ Γρηγόριε, τῶν πιστῶς εὐφημούντων σε.

Ὁ νοῦς σου λαμπόμενος ταῖς θεϊκαῖς ἐπινεύσεσι, τῶν τοῦ σώματος ὕπερθεν, παθῶν ἐχρημάτισας ἀμιγεῖς τῶν κάτω, φέρων χαρακτῆρας, καὶ ἐκτυπῶν ἐν σεαυτῷ τὸ θεῖον κάλλος, καὶ γνωριζόμενος, ὅλως φωτοειδέστατος τῇ συνεργείᾳ τοῦ Πνεύματος, κλεινὲ Γρηγόριε μοναζόντων ἀγλάϊσμα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Δόξα. Ἦχος πλ. β΄.**

Γρηγόριε πάτερ, συμπολῖτα τῶν Ἀγγέλων, Βασιλείας κληρονόμε τοῦ Χριστοῦ, παρεστὼς τῇ Τριάδι, πρέσβευε ὑπὲρ ἡμῶν τῶν φιλτάτων σου τέκνων, χρεωστικῶς ἐκτελούντων τὴν πανόσιον μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον Δογματικὸν ἦχος β΄.**

Ὦ τοῦ μεγίστου μυστηρίου! Βλέπων τὰ θαύματα, ἀνακηρύττω τὴν Θεότητα, οὐκ ἀρνοῦμαι τὴν ἀνθρωπότητα· ὁ γὰρ Ἐμμανουὴλ φύσεως μὲν πύλας ἤνοιξεν, ὡς φιλάνθρωπος, παρθενίας δὲ κλεῖθρα οὐ διέῤῥηξεν, ὡς Θεός, ἀλλ᾽ οὕτως ἐκ μήτρας προῆλθεν, ὡς δι᾽ ἀκοῆς εἰσῆλθεν· οὕτως ἐσαρκώθη, ὡς συνελήφθη, ἀπαθῶς εἰσῆλθεν, ἀφράστως ἐξῆλθε, κατὰ τὸν Προφήτην τὸν λέγοντα· Αὕτη ἡ πύλη κεκλεισμένη ἔσται, οὐδεὶς οὐ μὴ διέλθῃ δι᾽ αὐτῆς εἰμὴ μόνος Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον.

**Ἦχος β΄. — Οἶκος τοῦ Ἐφραθᾶ**

Πράξεως ἐπιβὰς τῷ ἅρματι θεόφρον, καὶ καθαρθεὶς τὴν φρένα, ἀνέδραμες εἰς ὕψος τῆς θεωρίας Ὅσιε.

Στίχος : Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Πᾶσαι τῶν μοναστῶν χορεῖαι συνελθοῦσαι, ᾠδαῖς τε καὶ ὕμνοις τιμήσωμεν συμφώνως τὸν Θεῖον Γρηγόριον.

Στίχος : Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ὥσπερ θεοφεγγὴς φωστὴρ ἐξανατείλας τῇ Ἐκκλησίᾳ Πάτερ, τὴν οἰκουμένην πᾶσαν, φωτίζεις τοῖς σοῖς θαύμασι.



**Δόξα. Ὅμοιον.**

Ἄναρχε ὦ Τριὰς Πάτερ Υἱὲ καὶ Πνεῦμα ὁ εἷς Θεὸς τῶν ὅλων, περίσωζε τοὺς πίστει ὑμνοῦντάς σου τὴν δύναμιν.

**Καὶ νῦν. — Θεοτοκίον.**

Ὢ πρᾶγμα τὸ γλυκύ, καὶ ὄνομα Μαρία, πρέσβευε τῷ Υἱῷ σου, μετὰ τοῦ σοῦ Ὁσίου, ὑπὲρ ἡμῶν τῶν δούλων σου.

**Ἀπολυτίκιον ἦχος α΄. — Τοῦ λίθου σφραγισθέντος.**

Ὡς Ἄγγελος ἐν βίῳ ἐγνωρίσθης πατὴρ ἡμῶν, καὶ χάριν ἰαμάτων ἐκομίσω ἀοίδιμε, θαυμάσια τελέσας φοβερά, Γρηγόριε παθῶν φυγαδευτά, θεραπεύεις ἐν ἀγάπῃ σὺν ταῖς ψυχαῖς καὶ τὰ σώματα μακάριε, δόξα τῷ εὐδοκήσαντι ἐν σοί, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πιστοῖς τὰ ἰάματα.

**Ἕτερον ἦχος α΄. — Τὸν τάφον σου Σωτήρ.**

Γρηγόριον ᾠδαῖς εὐφημήσωμεν πάντες, Ἑῴας τὸν βλαστὸν καὶ Ὁσίων τὸ κλέος, Μονῆς τῆσδε δομήτορα, καὶ ἀπόρθητον ἔρεισμα πίστει κράζοντες, μὴ διαλείπῃς παντοίων δεινῶν Ὅσιε, καθικετεύειν ἀπαύστως, τὴν ποίμνην σου σώζεσθαι.

**Θεοτοκίον.**

Τοῦ Γαβριὴλ φθεγξαμένου σοὶ Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ Ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ Δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου, Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Καὶ Ἀπόλυσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

### Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι.΄ καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα δ.΄

**Ἦχος β.΄**

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα, ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν. Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε· καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας, τῷ Σταυρῷ ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε. Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον Ἔγερσιν.

Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν Ἀνάστασιν· αὐτὸς γὰρ Λυτρωτής ἐστι, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν· καὶ ἐν δόξῃ φοβερᾷ, καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται, κρῖναι Κόσμον ὃν ἔπλασεν.

Ἕτερα στιχηρὰ Ἀνατολικά.

Σὲ τὸν Σταυρωθέντα καὶ ταφέντα, Ἄγγελος ἐκήρυξε Δεσπότην, καὶ ἔλεγε ταῖς Γυναιξί· δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ Κύριος· ἀνέστη γὰρ καθὼς εἶπεν ὡς Παντοδύναμος.

Καὶ τοῦ Ἁγίου Γρηγορίου ϛ.΄

**Ἦχος δ.΄— Ὡς γενναῖον ἐν μάρτυσι**

Τῶν Ἀγγέλων ὁμόσκηνον, καὶ Ὁσίων συνόμιλον, γεγονότα ὅσιε, σὲ Γρηγόριε, πηγὴν θαυμάτων ἀνέδειξε Χριστὸς ὁ φιλάνθρωπος, ὃν ἐπόθησας θερμῶς, διὸ σώζεις τοὺς



πίστει σε μακαρίζοντας, ἐκ παντοίων κινδύνων Θεοφόρε, καὶ βαρβάρων ἐπηρείας καὶ πάσης ἄλλης κακώσεως.

Τῶν χαρίτων τοῦ πνεύματος ταῖς ἐνθέοις ἐλλάμψεσι, λαμπρυνθεὶς Γρηγόριε Ὁσιώτατε, Χριστοῦ θεράπων γεγένησαι, ὀδύνας κακώσεων, καὶ τὸ σκότος τῶν παθῶν, ἀπελαύνων πρεσβείαις σου, καὶ ῥυόμενος ἀλγεινῶν τοὺς τὴν μνήμην σου τελοῦντας· καὶ ἐν πίστει ἐκβοῶντας, δόξα τῷ σὲ μεγαλύναντι.

Τοὺς μεγίστους ἀγῶνάς σου Θεοφόρε Γρηγόριε, καὶ τὴν ὑπὲρ ἄνθρωπον καρτερίαν σου ταῖς τῶν ἐχθρῶν παρατάξεσι, Χριστὸς ὁ Θεὸς ἡμῶν, κατιδών σου τὴν αὐτοῦ βασιλείαν ηὐτρέπισε, δεῦρο λέγων σοι ἀγαθέ, καὶ πιστὲ τοῦ ἀμπελῶνος, οἰκονόμε καὶ ἐργάτα, ἀπολαυεῖν τὸ δηνάριον.

Ἕτερα προσόμοια

**Ἦχος πλ. δ.΄— Ὢ τοῦ παραδόξου θαύματος**

Πάτερ Θεόφρον Γρηγόριε, τὰ ἐν τῷ κόσμῳ τερπνά, ὡς οὐδὲν λογισάμενος, ἐβδελύξω ἅπαντα ὡς ἐχέφρων ἀοίδιμε, καὶ τὸν μονήρη βίον κατέλαβες, Θεῷ λατρεύειν τῷ ποθουμένῳ σοι, ὃν καὶ ἐδόξασας, ἐν ποικίλοις θαύμασι, Μονήν σου σοφέ, θείαν συστησάμενος, ἐν τῷ ὄρει τοῦ Ἄθωνος.

Πάτερ Θεόφρον Γρηγόριε, δι' ἐγκρατείας πολλῆς, καὶ συντόνου δεήσεως, τῷ Χριστῷ ἑνούμενος ἀπερίτρεπτος ἔμεινας, ταῖς μεθοδίαις τοῦ πολεμήτορος, καὶ φίλος ὤφθης τοῦ Παντοκράτορος. Ὅθεν τιμῶμέν σε, καὶ τὴν θείαν μνήμην σου περιχαρῶς, πίστει ἑορτάζομεν Θεομακάριστε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Όσιε πάτερ Γρηγόριε, ἐν ἐρημίαις ἀεί, καὶ σπηλαίοις καὶ ὄρεσι, πίστει διαιτώμενος, τὸν Θεὸν ἐξεζήτησας, καὶ τοῦτον εὗρες ὥσπερ ἐπόθησας, ἀνεπιστρόφῳ ψυχῇ νευρούμενος, ταῖς ἀναβάσεσι ταῖς καλαῖς ἑκάστοτε, καὶ μοναστῶν στίφη προσενήνοχας, Χριστῷ σωζόμενα.

**Δόξα. Ἦχος πλ. β.**

Τὴν τῶν Ὁσίων καλλονήν, καὶ μονοτρόπων κλέος, τὴν κρήνην τῶν θαυμάτων, καὶ τῶν παθῶν ὀλετῆρα ὀξύτατον, συνελθόντες ὦ φιλέορτοι, μελῳδικαῖς ὑμνῳδίαις τιμήσωμεν λέγοντες, χαίροις ὁ τῆς Ἑῴας βλαστός, καὶ τῆς τοῦ Γρηγορίου φρουρὸς καὶ κλέος ἀναφαίρετον· χαίροις λαμπτὴρ τηλαυγέστατε, ὁ ταῖς τῶν ἔργων λάμψεσι, καταυγάζων τοὺς ἅπαντας, χαίροις ὁ τῶν νοσούντων ταχὺς θεραπευτής, καὶ τῆς μονῆς σου ταύτης προστάτης ἄγρυπνος. Διὸ παμμάκαρ Γρηγόριε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ἐν πίστει καὶ πόθῳ προσκυνούντων, καὶ τιμώντων ἀεὶ τὴν θείαν καὶ πάνσεπτον εἰκόνα σου.

**Καὶ νῦν. Θεοτοκίον ἦχος β.**

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης, ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν ἥλιος, ἀντὶ Μωϋσέως Χριστὸς ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν,

Τὸ Φῶς ἱλαρόν. — Τὸ Προκείμενον: Ὁ Κύριος ἐβασίλευσεν.

Καὶ τὰ Ἀναγνώσματα. (Ὅρα ταῦτα σελίδ. Ἀρ. 6)



## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ.

Ψάλλομεν τὸ ἰδιόμελον τοῦ Ἁγίου Νικολάου.

**Ἦχος α΄.**

Ἐνατενίσας ἀκλινῶς τῷ ὕψει τῆς γνώσεως, καὶ κατοπτεύσας ἀδήλως σοφίας τὸν βυθόν, σαῖς διδαχαῖς κόσμον κατεπλούτισας, Πάτερ. Ὑπὲρ ἡμῶν ἀεὶ Χριστὸν δυσώπει, Ἱεράρχα Νικόλαε.

Καὶ τοῦ Ἁγίου Γρηγορίου

**Ἦχος α΄.**

Τῆς Κοσμικῆς ἀποστὰς συγχύσεως ἀοίδιμε, καὶ πᾶσαν τρυφὴν ὁμοῦ καὶ δόξαν μισήσας, τὴν οὐράνιον βασιλείαν ἐπεπόθησας, ἡγιασμένε Γρηγόριε, ἐν γὰρ τῷ Ὄρει τοῦ Ἄθωνος, τὴν τῶν ἀζύγων πολιτείαν ἐκλεξάμενος, τῷ κρύει καὶ καύσωνι τρυχωθείς, ἀγρυπνίαις τε καὶ προσευχαῖς περιφραχθείς, τὰς ἐνέδρας τοῦ Σατὰν ἀπεκρούσω, καὶ τὴν χάριν τῶν θαυμάτων κομισάμενος σὺν Ἀγγέλοις χορεύεις ἐν οὐρανοῖς, τὴν δὲ ἐνεγκαμένην περιφρουρεῖς ἐνεργείᾳ τοῦ θείου πνεύματος, καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου ἀνυμνούντων τὸ Ἱερόν σου μνημόσυνον.

**Ὁ αὐτός.**

Τὸν κλεινὸν καὶ στερρὸν Γρηγόριον, τὸν ὑπὲρ τῆς αἰωνίου ζωῆς ἀγωνισάμενον, καὶ Μονὴν ἰδίαν ἐν τῇ τοῦ Ἄθωνος ὑπωρείᾳ δομησάμενον, δεῦτε, ὦ φιλέορτοι ὑμνήσωμεν λέγοντες· χαίροις τῶν πιστῶν ἀήττητος πρόμαχος, καὶ τῶν ἀπίστων ἐθνῶν ἀπείργων τὰς μηχανουργίας· χαίροις ἡ τῶν Θαυμάτων ἀκένωτος πηγή, καὶ παραμυθία τῶν θλιβομένων· χαίροις ὁ τῶν νοσούντων ταχὺς θεραπευτής, χαίροις

ΒΕΝΑΚΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τῆς Ἑῴας τὸ καύχημα, καὶ τῆς ὁμωνύμου σου Μονῆς τὸ ἀγαλλίαμα.

Ὁ αὐτός.

Τῆς χάριτος τῶν θαυμάτων ἠξιωμένος, παρέχεις ἀφθόνως τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις, καὶ τοὺς μετὰ πόθου ἀσπαζόμενος τὴν ἁγίαν σου σορόν, λυτροῦσαι παντοίων ἀλγεινῶν ἀείμνηστε Γρηγόριε, τοὺς δὲ ἐν τῇ σεπτῇ σου μάνδρᾳ μονάζοντας, τῶν ἀνιάτων παθῶν διαφυλάττεις ἀτρώτους, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις πρεσβείαις σου.

Ὁ αὐτός.

Σήμερον ὁ τοῦ Θεοῦ γνήσιος θεράπων ὁ θεῖος Γρηγόριος, τὸν δρόμον τοῦ βίου τελέσας, τὸν τοῖς Ὁσίοις πρέποντα ὕπνωσε θάνατον, καὶ καταλιπὼν τὰ ἐπὶ γῆς, εἰς οὐρανοὺς ἀνέρχεται, ὑπὸ φωτεινῶν Ἀγγέλων παραπεμπόμενος· ἵνα κομίσηται τῶν τῆς ἀσκήσεως πόνων τὰ ἔπαθλα· καὶ νῦν ἐν ταῖς φωτειναῖς τῶν Ὁσίων σκηναῖς αὐλίζεται, ἀμέσως τῷ ποθουμένῳ Ἰησοῦ παριστάμενος, καὶ φωτὸς αὐτοῦ καὶ ὡραιότητος ἀπολαύων, πρεσβεύει ἐκτενῶς ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου ἐκτελούντων τὴν μνήμην αὐτοῦ.

Ἦχος πλ. α΄.

Τοῖς ἀσκητικοῖς ἀγῶσι σαυτὸν κατακοσμήσας, τῶν ἀπ᾽ αἰῶνος ὁσίων Γρηγόριε, σύσκηνος γέγονας, καὶ τὴν αὐτῶν ἀμέμπτως ζηλώσας πολιτείαν ἀπείληφας, τὸ βραβεῖον τῆς καρτερίας σου· κηρύττει γὰρ ἡ ἐκκλησία τὰ θαύματα, καὶ ἡ Ἱερά σου Μονὴ τὰ παλαίσματα, ἡ δὲ θεία λάρναξ τοῖς ἐν αὐτῇ προσιοῦσι πηγάζει ἰάματα ἀοίδιμε· διὸ καὶ ἡμῖν ὄμβριστον σήμερον ψυχικὴν σωτηρίαν, καὶ κινδύνων ἅ-



φαρπασον, καὶ παντὸς δεινοῦ ἐλευθέρωσον, ἔχεις γὰρ ὡς ἀληθῶς τὴν παῤῥησίαν πρὸς Κύριον.

Δόξα. Ἦχος πλ. δ΄.

Ἔχει μὲν ἡ μακαρία σου ψυχή, καὶ ἄσπιλος, πανόσιε Γρηγόριε, τὴν οὐράνιον Ἱερουσαλὴμ κατοικητήριον, ἧς τὰ τείχη ἐν ταῖς ἀχράντοις χερσὶ τοῦ ἀοράτου Θεοῦ ἐζωγράφηνται· ἔχεις δὲ καὶ τὸ πανέντιμον καὶ ἀσκητικώτατόν σου ἄντρον σὺν τῇ θείᾳ σου ταύτῃ Μονῇ ἐπὶ γῆς, ἣν ἐν ἱδρῶσι τε καὶ πόνοις ἐδομήσω, εἰς ψυχῶν καθάρσιον· ἔνθα μονάζοντες τὰς ἐλπίδας σοι τιθέμεθα, φρούρησον ἀοίδιμε τὴν ὁμωνυμοῦσάν σοι ποίμνην καὶ πόθῳ σου κροτοῦσαν ἑορτήν, παῤῥησίαν ὡς ἔχων πρὸς Χριστὸν ὃν ἐθεράπευσας.

Καὶ νῦν. — Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μῆτερ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Εἰς τὸν Στίχον στιχηρὸν Ἀναστάσιμον.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν οἰκουμένην, καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα· παντοδύναμε Κύριε δόξα σοι.

Εἶτα τοῦ Ὁσίου.

Ἦχος α΄. — Πανεύφημε Μάρτυρες.

Γρηγόριε ἔνδοξε ναός, τῆς Τριάδος γέγονας, καὶ τὸν Ναὸν τὸν πανάγιον, ἐν ᾧ τὸ σῶμά σου εὐσεβῶς ἐτέθη, πο-

ΑΝΑΣΤΑΣΙΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΤΟΥ ΙΩΑΝΝΟΥ Η ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ταμὸν ἀνέδειξας, ἀπείρων ἰαμάτων πανόλβιε, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στίχος : Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Θεὸν ὃν ἠγάπησας θερμῶς μάκαρ, ἐκ καρδίας σου, ἀδιαλείπτως ἱκέτευε, ρυσθῆναι ἅπαντας τοὺς ἀναθεμένους ἑαυτοὺς τῇ ποίμνῃ σου, καὶ ταύτῃ μέχρι τέλους προσμένοντας, πυρὸς γεέννης τε καὶ βαρβάρων τῆς ἁλώσεως, καὶ τῆς πλάνης τοῦ διαβόλου Ὅσιε.

Στίχος : Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Παμμάκαρ Γρηγόριε τὴν σὴν Εἰκόνα γηθόμενοι, πανευλαβῶς ἀσπαζόμεθα, καὶ ἀρυόμενοι, ἰαμάτων πλήθη, πόθῳ σε γεραίρομεν, καὶ πίστει ἐκτελοῦμεν τὴν μνήμην σου· ἀλλ' οὖν ἱκέτευε, τὸν Θεὸν ὃν ἐθεράπευσας, ὑπὲρ πάντων τῶν ᾠδαῖς τιμώντων σε.

**Δόξα. Ἦχος δ'.**

Ἀγάλλεται σήμερον ἡ ἐκκλησία τοῦ Θεοῦ, λαμπρυνομένη τῇ χάριτι, καὶ πιστῶς πανηγυρίζει, τῆς Μονῆς σου τὰ συστήματα, ἐπὶ τῇ παῤῥησίᾳ τῆς τιμίας εἰκόνος σου ἡγιασμένε πάτερ Γρηγόριε. καὶ δοξάζει Χριστὸν τὸν διὰ σοῦ παρέχοντα ἡμῖν εἰρήνην καὶ τὸ μέγα ἔλεος·

**Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.**

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα, μὴ αἰσχυνθῶμεν



Δέσποινα, σὲ προσκαλούμενοι· σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων : Χαῖρε, Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Ἀπολυτίκιον Ἦχος β'.—Τὸ Ἀναστάσιμον.—Ὅτε κατῆλθες**

**Δόξα τοῦ Ὁσίου ἦχος α'.—Τοῦ λίθου σφραγισθέντος**

Ὡς Ἄγγελος ἐν βίῳ ἐγνωρίσθης πατὴρ ἡμῶν, καὶ χάριν ἰαμάτων ἐκομίσω ἀοίδιμε, θαυμάσια τελέσας φοβερά, Γρηγόριε παθῶν φυγαδευτά, θεραπεύεις, ἐν ἀγάπῃ σὺν ταῖς ψυχαῖς, καὶ τὰ σώματα μακάριε, δόξα τῷ εὐδοκήσαντι ἐν σοί, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πιστοῖς τὰ ἰάματα.

**Ἕτερον Ἦχος α'.— Τὸν τάφον Σου Σωτήρ.**

Γρηγόριον ᾠδαῖς εὐφημήσωμεν πάντες, Ἑῴας τὸν βλαστόν, καὶ Ὁσίων τὸ κλέος, Μονῆς τῆς δε δομήτορα, καὶ ἀπόρθητο νέρεισμα, πίστει κράζοντες, μὴ διαλείπῃς παντοίων δεινῶν Ὅσιε, καθικετεύειν ἀπαύστως τὴν ποίμνην σου σώζεσθαι.

**Καὶ νῦν Θεοτοκίον — Θεοτόκε Παρθένε.**

Εὐλόγησις τῶν ἄρτων καὶ ἀνάγνωσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εἰς τὸ Θεὸς Κύριος—Τὸ τροπάριον Ἀναστάσιμον.

**Δόξα τοῦ Ὁσίου καὶ νῦν Θεοτοκίον**

Μετὰ τὴν α.´ στιχολογίαν Κάθισμα Ἀναστάσιμον μετὰ τῶν Θεοτοκίων αὐτῶν.

**Ἦχος β.´**

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπὸ τοῦ ξύλου καθελών, τὸ ἄχραντόν σου σῶμα σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο· ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Δόξα.**

Ταῖς Μυροφόροις Γυναιξί, παρὰ τὸ μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα· τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος· ἀλλὰ κραυγάσατε: Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Καὶ νῦν.—Σταυροθεοτοκίον.**

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ Ἅδης, καὶ ὁ θάνατος τέθνηκεν· νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν· διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Μετὰ τὴν β.´ στιχολογίαν, ἕτερα.

Τὸν λίθον τοῦ μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς πίστεως, ἀναστὰς παρέσχες πᾶσι, Κύριε δόξα σοι.



**Δόξα.**

Τῶν Μαθητῶν σου ὁ χορός, σὺν Μυροφόροις Γυναιξίν, ἀγάλλεται συμφώνως, κοινὴν γὰρ ἑορτὴν σὺν αὐτοῖς ἑορτάζομεν, εἰς δόξαν καὶ τιμὴν τῆς σῆς Ἀναστάσεως· καὶ δι᾽ αὐτῶν φιλάνθρωπε Κύριε, τῷ λαῷ σου παράσχου τὸ μέγα ἔλεος.

**Καὶ νῦν. — Θεοτοκίον.**

Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ Ἅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν: Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Καὶ τοῦ Ἁγίου Γρηγορίου

**Ἦχος δ.´ — Ταχὺ προκατάλαβε.**

Ὁσίως διήνυσας τὴν πολιτείαν τὴν σήν, βραβεῖον τὰ θαύματα παρὰ Χριστοῦ τοῦ Θεοῦ, ἐδέξω Γρηγόριε, ὅθεν σὲ συνελθόντες, κατὰ χρέος τιμῶμεν, πόθῳ τὴν σὴν εἰκόνα, καὶ χαρᾷ προσκυνοῦντες, πλουσίως ἡμῖν πηγάζουσαν, χάριν καὶ ἔλεος.

**Δόξα. Ἦχος α.´ — Τὸν τάφον σου Σωτήρ.**

Ἐκ βρέφους τῷ Θεῷ, κολληθεὶς Θεοφόρε, τοῦ πνεύματος σεπτοῦ, καταγώγιον ὤφθης, καὶ τὰ πονηρότατα καθυπέταξας πνεύματα, ἐνασκήσας δὲ ἐν τῷ τοῦ Ἄθωνος Ὄρει, χάριν εἴληφας παρὰ Θεοῦ. Θεοφόρε φρουρεῖν τοὺς τιμῶντάς σε.

ΑΝΕΜΟΓΙΑΝΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Ανύμφευτε Ἁγνή, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι τοὺς ἐπὶ Σοὶ τὰς ἐλπίδας, Κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις σου.

Μετὰ τὸν Πολυέλεον ἡ Ὑπακοή.

Μετὰ τὸ πάθος πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι τὸ σῶμά σου αἱ γυναῖκες Χριστὲ ὁ Θεός, εἶδον Ἀγγέλους ἐν τῷ τάφῳ καὶ ἐξέστησαν· φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Εἶτα Κάθισμα τοῦ Ὁσίου.

**Ἦχος γ.' — Τὴν ὡραιότητα τῆς Παρθενίας σου.**

Ταῖς θείαις χάρισι, σὲ κατελάμπρυνε, Πνεῦμα τὸ Ἅγιον Πάτερ Γρηγόριε, Θεῷ λατρεύσαντα πιστως, ὁσίως τε καὶ δικαίως, ὅθεν σὲ καὶ θαύμασι δαψιλῶς κατεκόσμησε· νόσους οὖν ἑκάστοτε θεραπεύεις τῶν πίστει σου, τῇ θείᾳ προσιόντων εἰκόνι, καὶ ἐν ᾠδαῖς σὲ τιμώντων.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Θεομακάριστε Μῆτερ ἀνύμφευτε τὴν ἀσθενοῦσάν μου ψυχὴν θεράπευσον, ὅτι συνέχομαι πολλοῖς, ἐν πταίσμασι Θεοτόκε, ὅθεν καὶ κραυγάζω σοι στεναγμῷ τῆς καρδίας μου, δέξαι με Πανάχραντε, τὸν πολλὰ ἁμαρτήσαντα, ἵνα ἐν παῤῥησίᾳ κραυγάζω σοι, χαῖρε ἡ κεχαριτωμένη.



**Οἱ Ἀναβαθμοί.— Ἀντίφωνον α.'**

Εν τῷ Οὐρανῷ τὰ ὄμματα, ἐκπέμπω μου τῆς καρδίας, πρὸς σὲ Σωτήρ, σῶσόν με σῇ ἐπιλάμψει.

Ελέησον ἡμᾶς τοὺς πταίοντας σοι πολλά, καθ' ἑκάστην ὥραν, ὦ Χριστέ μου· καὶ δὸς πρὸ τέλους τρόπους, τοῦ μετανοεῖν σοι.

**Δόξα καὶ νῦν.**

Αγίῳ Πνεύματι, τὸ βασιλεύειν πέλει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν κτίσιν· Θεὸς γὰρ ἐστίν, ὁμοούσιος Πατρὶ καὶ Λόγῳ.

**Ἀντίφωνον β.'**

Εἰμὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, τίς ἱκανὸς σῶος φυλαχθῆναι, ἐκ τοῦ ἐχθροῦ ἅμα, καὶ ἀνθρωποκτόνου;

Τοῖς ὀδοῦσιν αὐτῶν μὴ παραδῷς Σῶτερ τὸν σὸν δοῦλον· λέοντος τρόπον κατ' ἐμοῦ κινοῦνται, καὶ γὰρ οἱ ἐχθροί μου.

**Δόξα, καὶ νῦν.**

Αγίῳ Πνεύματι, ζωαρχία καὶ γέρας· πάντα γὰρ τὰ κτιστά, ὡς Θεὸς ὢν δυναμοῖ, συντηρεῖ ἐν Πατρὶ δι' Υἱοῦ δέ.

**Ἀντίφωνον γ.'**

Οἱ πεποιθότες ἐπὶ Κύριον, ἐοίκασιν ὄρει τῷ Ἁγίῳ· οἱ οὐδαμῶς σαλεύονται, προσβολαῖς τοῦ βελίαρ.

Εν ἀνομίαις χεῖρας αὐτῶν, μὴ ἐκτεινάτωσαν οἱ θείως ζῶντες· οὐ γὰρ ἐᾷ Χριστός, τῇ ῥάβδῳ τὸν κλῆρον αὐτοῦ.

**Δόξα, καὶ νῦν**

Αγίῳ Πνεύματι, προσπηγάζει πᾶσα σοφία· ἔνθεν χάρις

Ἀποστόλοις, καὶ τοῖς ἄθλοις καταστέφονται μάρτυρες καὶ προφῆται ὁρῶσι.

Προκείμενον.

Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε.

Στίχος: Κύριε ὁ Θεός μου ἐπὶ σοὶ ἤλπισα.

Πᾶσα πνοή.

Εὐαγγέλιον τὸ Ἑωθινόν. — Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Τὸν Πεντηκοστὸν ψαλμόν, καὶ μετὰ ψάλλομεν

**Εἰς ἦχον β΄.—Δόξα.—Ταῖς τῶν Ἀποστόλων.**

**Καὶ νῦν.—Ταῖς τῆς Θεοτόκου.**

**Εἶτα.—Ἦχος β΄.**

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν, τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

Μετὰ δὲ τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου.—Εἶτα ἀρχόμεθα τῶν κανόνων.

Οἱ Κανόνες.

Ὁ Ἀναστάσιμος εἰς δ΄. τῆς θεοτόκου εἰς δ΄. καὶ τοῦ Ὁσίου εἰς ς΄.

Ὁ Ἀναστάσιμος.

**Ὠδὴ α΄. Ἦχος β΄. Ὁ Εἱρμὸς**

Ἐν βυθῷ κατέστρωσε ποτὲ τὴν Φαραωνίτιδα, πανστρατιάν, ἡ ὑπέροπλος δύναμις σαρκωθεὶς ὁ Λόγος δὲ τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμένος Κύριος· ἐνδόξως γὰρ δεδόξασται.

Τροπάριον.

Ὁ τοῦ κόσμου ἄρχων ἀγαθέ, ᾧ ἀπεγραψάμεθα, τῇ ἐντολῇ τῇ σῇ μὴ πειθαρχήσαντες, τῷ Σταυρῷ σου κέκριται· προσβαλὼν γάρ σοι ὡς θνητῷ περιπέπτωκε, τῷ τῆς ἐξουσίας κράτει σου, καὶ ἀσθενὴς διήλεγκται.



Λυτρωτὴς τοῦ γένους τῶν βροτῶν, καὶ τῆς ἀκηράτου ζωῆς ἀρχηγός, εἰς τὸν κόσμον ἐλήλυθας· τῇ γὰρ Ἀναστάσει σου, διεσπάραξας τοῦ θανάτου τὰ σπάργανα, ἣν δοξολογοῦμεν ἅπαντες· ἐνδόξως γὰρ δεδόξασται.

**Θεοτοκίον.**

Ὑπερτέρα πέφηνας Ἁγνή, πάσης ἀοράτου τε, καὶ ὁρατῆς ἀειπάρθενε κτίσεως· τὸν γὰρ Κτίστην τέτοκας, ὡς ηὐδόκησε σαρκωθῆναι ἐν μήτρᾳ σου· ᾧ σὺν παῤῥησίᾳ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κανὼν τῆς Θεοτόκου.

Οὗ ἡ ἀκροστιχίς: Ἄδω τὸν αἶνον τῇ φερεσβίῳ Κόρῃ.

**Ὁ Εἱρμός. — Ἄτριπτον ἀσυνήθη.**

Αὖλος πάλαι κλίμαξ καὶ ξένως χερσωθεῖσα, ὁδὸν θαλάσσης, τὴν σὴν ἐδήλου γέννησιν Ἁγνή· ἣν ὑμνοῦμεν ἅπαντες, ὅτι δεδόξασται. (Δὶς)

Δύναμις τοῦ Ὑψίστου, ὑπόστασις τελεία, Θεοῦ Σοφία, σωματωθεῖσα Ἄχραντε ἐκ σοῦ, τοῖς βροτοῖς ὡμίλησεν, ὅτι δεδόξασται.

Ὥδευσε διὰ πύλης, ἀβάτου κεκλεισμένης, τῆς σῆς νηδύος, δικαιοσύνης Ἥλιος Ἁγνή, καὶ τῷ κόσμῳ ἔλαμψεν ὅτι δεδόξασται.

Ἕτερος Κανὼν τοῦ Ὁσίου Γρηγορίου.

Ποίημα τοῦ Ὁσιολογιωτάτου Κυρίου κ. Γρηγορίου τοῦ καὶ Γέροντος χρηματίσαντος ἐν τῇ Ἱερᾷ Μονῇ ταύτῃ. Ἄνευ ἀκροστιχίδος.

**Ἦχος πλ. δ.΄ — Ἁρματηλάτην Φαραὼ ἐβύθισε.**

Ὀρθοδοξίας ἀληθοῦς ὑπόθεσις, ἐστὶν ἡ μνήμη σου, θαυ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ματουργὲ πάτερ, Ὅσιε Γρηγόριε, τοῖς συνελθοῦσιν ἅπασιν, καθαραῖς ταῖς καρδίαις, ὑμνῆσαι ταύτης τὸν αἴτιον, καὶ τὸν ὑπερθαύμαστον βίον σου. (Δὶς)

Ἀπὸ χειλέων ῥυπαρῶν τὴν αἴνεσιν, τολμήσας ᾄδω σοι, τῷ περί σε πόθῳ, κάτοχος γενόμενος, καὶ τῇ ὁμωνυμίᾳ σου, ἀλλὰ σύγγνωθι πάτερ, καὶ δός μοι λόγον καὶ σύνεσιν, τοῦ προσενεγκεῖν σοὶ τὸν ἔπαινον. (Δὶς)

**Δόξα.**

Μὴ ἐνεγκὼν τὴν τῶν βαρβάρων ἔφοδον, θεῖε Γρηγόριε, τὴν ἐν τῷ Ἁγίῳ Ὄρει τῷ τοῦ Ἄθωνος, ἀζύγων τῷ συστήματι, τῷ ἐχθρῷ ἐνεχθεῖσαν, θείᾳ προνοίᾳ γεγένησαι, τούτου μετανάστης μακάριε.

**Καὶ νῦν.**

Ἰδοὺ Παρθένε τὸ ἐμὸν ἐφύμνιον, δέχου Πανάμωμε, ὡς πρὶν ὁ Υἱός σου, Θεός μου καὶ Κύριος, τῆς χήρας κατεδέξατο, τὰ λεπτὰ καὶ τὴν λύσιν τῶν ὀφλημάτων παράσχου μοι· ὅπως κατὰ χρέος γεραίρω σε.

**Καταβασία.— Ἀνοίξω τὸ στόμα μου.**
**Ὠδὴ γ΄. Ἀναστάσιμος. Ὁ Εἱρμός.**

Ἐξήνθησεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν ἐθνῶν στειρεύουσα, Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

**Τροπάριον.**

Ἡ κτίσις ἐν τῷ πάθει σου, ἠλλοιοῦτο βλέπουσα, ἐν εὐτελεῖ προσχήματι, ὑπ᾽ ἀνόμων μυκτηριζόμενον, τὸν ἐδράσαντα πάντα θείῳ νεύματι.



Ἐκ χοὸς κατ᾽ εἰκόνα με, τῇ χειρί σου ἔπλασας, καὶ συντριβέντα πάλιν δέ, εἰς χοῦν θανάτου δι᾽ ἁμαρτίαν Χριστέ, συγκαταβὰς εἰς Ἅδην συνανέστησας.

**Θεοτοκίον.**

Τὰ τάγματα ἐξέστησαν, τῶν Ἀγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου· διὸ σὲ Θεοτόκον πίστει σέβομεν.

**Τῆς Θεοτόκου.—Τόξον συνετρίβη δυναστῶν.**

Ὁ χρόνου ἐπέκεινα παντός, ὡς χρόνων Ποιητής, ἐκ σοῦ Παρθένε ἑκών, βρέφος πεπλαστούργηται. (Δὶς)

Νηδὺν πλατυτέραν οὐρανῶν, ὑμνήσωμεν πιστοί, δι᾽ ἧς Ἀδὰμ ἐν τοῖς οὐρανοῖς, χαίρων πεπολίτευται. (Δὶς)

**Τοῦ Ἁγίου Γρηγορίου.—Οὐρανίας ἁψῖδος.**

Τὸν Ἠλίαν ζηλώσας, καὶ Μωϋσῆν Ὅσιε, μῆκος ἡμερῶν ὡς ἐκεῖνοι, νηστείαν ἤνυσας, ἄρτον οὐράνιον, θεωριῶν οὐρανίων, ἐντρυφῶν τῇ χάριτι, τοῦ θείου πνεύματος. (Δὶς)

Ἱερῶν ἐξ ἀδύτων, ὡς φωταυγὴς ἥλιος, ὤφθης θεοφόρε, τὴν δὲ Μονήν σου δειμάμενος, ἐν τῇ τοῦ Ἄθωνος εὐρυσθενεῖ, ἥν περ καὶ κατέλιπες σοῖς τέκνοις Ὅσιε. (Δὶς)

**Δόξα.**

Ἀνυμνοῦμεν σὲ πόθῳ, διὰ παντὸς Ὅσιε, πᾶσα ἡ πληθὺς τῆς τοῦ Γρηγορίου θεομακάριστε, καὶ ἐκβοῶμέν σοι ῥῦσαι τὴν ποίμνην σου ταύτην, ἐκ τῶν ὁρωμένων τε καὶ ἀοράτων ἐχθρῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Καὶ νῦν.**

Συμμετρία τῶν πόνων, τοῖς ταπεινοῖς Ἄχραντε, τὸ τῆς ἀρετῆς γεωργεῖται μέλι πανθαύμαστον· διὸ ἐνίσχυσον, τὴν παναθλίαν ψυχήν μου, ταπεινῷ φρονήματι ἐμπολιτεύεσθαι.

**Καταβασία.—Τοὺς σοὺς ὑμνολόγους.**

**Κοντάκιον, τὸ Ἀναστάσιμον.—Τὰ ἄνω ζητῶν.**

Ἀνέστης Σωτήρ, ἐκ τάφου Παντοδύναμε, καὶ Ἅδης ἰδών, τὸ θαῦμα ἐξεπλήττετο, καὶ νεκροὶ ἀνίσταντο, καὶ ἡ κτίσις ἰδοῦσα συγχαίρει σοι, καὶ ὁ Ἀδὰμ συναγάλλεται, καὶ κόσμος Σωτήρ μου ἀνυμνεῖ σε ἀεί.

**Καὶ κάθισμα. Τοῦ Ἁγίου ἦχος δ΄.—Ταχὺ προκατάλαβε.**

Ἐπέστη φιλέορτοι, λαμπρὰ πανήγυρις, ἡ μνήμη ἡ ἔνδοξος, τοῦ Θεοφόρου Πατρός, εὐφραίνουσα τὰ σύμπαντα, λάμπουσα ταῖς ἀκτῖσι, καὶ θαυμάτων τῷ πλήθει, φέρουσα τοῖς ποθοῦσι, τὴν ἀένναον χάριν, ψυχῆς τε τὴν σωτηρίαν καὶ βίον ἄμεμπτον,

**Δόξα.—Ἕτερον ὅμοιον**

Τὸν κόσμον κατέλιπες, πατὴρ ἡμῶν Ὅσιε, σταυρὸν ἀναλαβόμενος, ἐπὶ τῶν ὤμων σου, τὸν Ἄθω κατέλαβες, τοῦτον τῆς θεοτόκου, τὸν Πανάγιον κλῆρον ἔνθα καὶ δειμάμενος, Μονὴν τὴν ἐπώνυμον, καὶ εἴληφας τῶν βραβείων, ἐκ Θεοῦ πάτερ Γρηγόριε.

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ· Κυρία Πανάμωμε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων σύντριψον μηχανίας, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέων, Πάναγνε κατὰ τῶν δούλων σου.



**Ὠδὴ δ΄. Ὁ Εἱρμός**

Ἐλήλυθας ἐκ Παρθένου, οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος, σεσαρκωμένος, καὶ ἔσωσας, ὅλον με τὸν ἄνθρωπον· διὸ κραυγάζω σοι· Δόξα τῇ δυνάμει σου Κύριε.

**Τροπάριον.**

Παρίστασαι ὡς κριτὴς ὁ Θεός μου τῷ βήματι, οὐ κραυγάζων Δέσποτα, κρίσιν ἐνάγων τοῖς ἔθνεσιν, ἣν διὰ τοῦ πάθους σου, τῇ οἰκουμένῃ εἰργάσω σωτηρίαν Χριστέ.

Τῷ πάθει σου, τοῦ ἐχθροῦ αἱ ῥομφαῖαι ἐξέλιπον· τῶν ὑπεναντίων δέ, ἐν τῇ εἰς Ἅδου καθόδῳ σου, πόλεις καθηρέθησαν, καὶ τοῦ τυράννου τὸ θράσος καταβέβληται.

**Θεοτοκίον.**

Σὲ λιμένα σωτηρίας καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα· σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

**Τῆς Θεοτόκου.—Ἀκήκοα Κύριε, τὴν ἔνδοξον σου.**

Ἰδοὺ ὑπερύψωται, τὸ θεῖον ὄρος οἴκῳ Κυρίου, ὑπεράνω τῶν Δυνάμεων, ἡ θεομήτωρ ἐμφανέστατα. (Δὶς)

Νομίμων τῆς φύσεως, παρθένε ἅπερ μόνη τεκοῦσα, τὸν δεσπόζοντα τῆς κτίσεως, κατηξιώθης θείας κλήσεως. Δίς.

**Τοῦ Ἁγίου Γρηγορίου—Σύ μου ἰσχὺς Κύριε.**

Ὅλον σαυτόν, νεύμασιν ἐμπαρεχόμενος, τοῦ Δεσπότου,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὅσιε Γρηγόριε, τῶν ἀρετῶν ἤρθης ἐμφανῶς, πρὸς ὑψηλοτάτην, καὶ θείαν ὄντως ἀκρώρειαν, κἀκεῖθεν ἰαμάτων, ποταμοὺς ἀναβλύζεις, τοῖς τὴν μνήμην σου πόθῳ γεραίρουσι. (Δίς).

Μένειν ἐντὸς ἥκιστα κόσμου ὑπέμεινας, ὄντως πάτερ ἔχων ὁδηγοῦσάν σε, τὴν τοῦ Θεοῦ δύναμιν Χριστόν, ἐν δὲ τοῖς ἀβάτοις τοῦ Ἄθω ἐνδιαιτώμενος, ὄρεσι θεομάκαρ, ἀδεῶς πάντα φέρων, καὶ μελλόντων ἐλπίσι γηθόμενος. (Δίς).

**Δόξα.**

Ὁ κατὰ σοῦ στρατὸς ποτὲ θρασυνόμενος, τῶν βαρβάρων γέγονεν ὁ δείλαιος, ἔργον βυθοῦ συναπολεσθείς, σὲ γὰρ ἀοράτως, ἡ θεία χάρις διέσκεπεν, ἡμῶν προνοουμένη, διὰ σοῦ σωζομένων, τῶν τιμώντων σε μάκαρ Γρηγόριε.

**Καὶ νῦν.**

Ἵνα τὰ σά, ἐκδιηγῶμαι θαυμάσια, Θεοτόκε, καὶ τὰ μεγαλεῖά σου, ἵνα ἀνθρώπων ἐν τοῖς υἱοῖς, ἐξομολογῶμαι, τὰ σὰ ἐλέη Πανύμνητε, ἐπίβλεψον εὐσπλάγχνως ἐπ' ἐμὲ τὸν νοσοῦντα, καὶ ὑγείαν τελείαν μοι δώρησαι.

**Καταβασία.—Τὴν ἀνεξιχνίαστον.**

**Ὠδὴ ε.' Ὁ Εἱρμός.**

Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας, Χριστὲ ὁ Θεός, διὰ σοῦ γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, προσαγωγὴν ἐσχήκαμεν.

**Τροπάριον.**

Ὡς κέδρος Χριστέ, τῶν ἐχθρῶν τὸ φρύαγμα συνέτριψας,



Ἑκουσίως Δέσποτα, ἐν τῇ κυπαρίσσῳ ὡς ηὐδόκησας, καὶ τῇ πεύκῃ καὶ κέδρῳ, σαρκὶ συνανυψούμενος.

Ἐν λάκκῳ Χριστέ, κατωτάτῳ ἔθεντό σε, ἄπνουν νεκρόν, ἀλλ' οἰκείῳ μώλωπι, ἐπιλελησμένους τραυματίας Σωτήρ, τοὺς ἐν τάφοις ὑπνοῦντας, σεαυτῷ συνεξανέστησας.

**Θεοτοκίον.**

Δυσώπει τὸν σόν, Υἱὸν καὶ Κύριον, Παρθένε ἁγνή, αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξεναντίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

**Τῆς Θεοτόκου.—Ὁ ἄνθραξ τῷ Ἠσαΐᾳ προσφθείς.**

Νεφέλαι τῆς εὐφροσύνης, γλυκασμὸν ῥάνατε, τοῖς ἐπὶ γῆς, ὅτι παιδίον δέδοται, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, ἐκ τῆς Παρθένου σαρκωθεὶς Θεὸς ἡμῶν. (Δίς).

Τῷ βίῳ καὶ τῷ σαρκίῳ μου, τῷ φῶς ἔλαμψε, καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν, ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου, ἄνευ σπορᾶς σωματωθεὶς ὁ Ὕψιστος. (Δίς).

**Τοῦ Ἁγίου Γρηγορίου.—Ἵνα τί με ἀπώσω.**

Ἄνοιξόν μοι τὰς πύλας, τὰς νοερὰς Δέσποτα, σωτήρ μου εὔσπλαγχνε, καὶ ὁδήγησόν με, ἐκ τοῦ σκότους πρὸς φῶς τὸ ἀνέσπερον, καὶ τοῦ Γρηγορίου, ταῖς προσευχαῖς οἰκτείρησόν με δέομαί σου φιλάνθρωπε Κύριε. (Δίς).

Μὴ παρίδῃς με πάτερ, πίστει σοὶ προστρέχοντα, τὸν σοὶ ὁμώνυμον, γλῶσσαν γὰρ δολίαν, κατ' ἐμοῦ οἱ μισοῦντες ἐκίνησαν, πολεμοῦντες μάτην, τοῦ δυσφημῆσαι σὸν ἱκέτην ἐξ ὧν πρόφθασον, ῥῦσαί με τάχιον. (Δίς).

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Δόξα.**

Ἐν νυκτὶ καὶ ἡμέρᾳ σὲ ἐπικαλοῦμαι, τὸν μέγαν προστάτην μου, ἐν παντί με τόπῳ καὶ καιρῷ διατήρησον Ἅγιε, ἀπὸ πάσης βλάβης, καὶ ἐπηρείας τῶν φθονούντων, τὸν εἰς σὲ τὴν ἐλπίδα μου θέμενον.

**Καὶ νῦν.**

Διαμένειν με σῶον, μὴ περιτρεπόμενον στάσεως κρείττονος, ἀλλ᾽ εὐθυποροῦντα, καὶ Θεῷ τὰ εὐάρεστα πράττοντα, ἐνδυνάμωσόν με, τὸν Ἀγαθὸν τεκοῦσα λόγον, τὸν ἡμᾶς ἀλογίας ῥυσάμενον.

**Καταβασία. — Ἐξέστη τὰ σύμπαντα.**
**Ὠδὴ στ΄. Ὁ Εἱρμὸς**

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον σου τῆς εὐσπλαγχνίας, ἐπικαλοῦμαι ἄβυσσον, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

**Τροπάριον.**

Ὡς κακοῦργος ὁ Δίκαιος κέκριται, καὶ μετὰ ἀνόμων τῷ ξύλῳ προσήλωται, τοῖς ὑπευθύνοις ἄφεσιν, τῷ οἰκείῳ δωρούμενος αἵματι.

Δι᾽ ἑνὸς μὲν ἀνθρώπου τοῦ πρώτου Ἀδάμ, πάλαι εἰς τὸν κόσμον εἰσῆλθεν ὁ θάνατος, καὶ δι᾽ ἑνὸς Ἀνάστασις, τοῦ Υἱοῦ τοῦ Θεοῦ πεφανέρωται.

**Θεοτοκίον.**

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.



**Τῆς Θεοτόκου. — Ἦχος ῥημάτων δεήσεως.**

Φύσις ἀνθρώπων δουλεύουσα, τῇ ἁμαρτίᾳ Δέσποινα ἁγνή, διὰ σοῦ ἐλευθερίας ἔτυχε· σὸς γὰρ Υἱὸς ὡς ἀμνός, ὑπὲρ πάντων τέθυται. (Δίς).

Ἐπιβοώμεθα πάντες, σὲ τὴν ἀληθῆ Μητέρα τοῦ Θεοῦ, παροργίσαντας οἰκέτας λύτρωσαι· μόνη γὰρ πρὸς τὸν Υἱόν, παῤῥησίαν κέκτησαι. (Δίς).

**Τοῦ Ἁγίου Γρηγορίου — Ἱλάσθητί μοι Σωτήρ.**

Ἀρύσασθαι εὐλαβῶς, τῶν χαρισμάτων τοῦ Πνεύματος, καὶ σώματι καὶ ψυχῇ, πόθῳ ἀσπαζόμενοι, Γρηγορίου μάκαρος Ἱερὰν Εἰκόνα, καὶ δεινῶν ἀπολυτρούμενοι. (Δίς).

Τὰς τῶν δαιμόνων ὁρμάς, ὑπὸ τοὺς πόδας συντρίβεσθαι, σῶν ταπεινῶν ἱκετῶν, Γρηγόριε ποίησον, πόθῳ γεραιρόντων σε, καὶ ἐν ὕμνοις κροτούντων, τὴν πανίερόν σου κοίμησιν.

**Δόξα.**

Χαρᾷ καὶ πόθῳ ἡ σὴ Μονή, τὴν σὴν μνήμην σήμερον Γρηγόριε ἐκτελεῖ, Χριστὸν μεγαλύνουσα παρασχόντα χάριν σοι, βοηθεῖν τοὺς πίστει καὶ καρδίᾳ αἰτουμένους σε.

**Καὶ νῦν.**

Ὢ πῶς βαστάζει ἡ γῆ, ἐμὲ τὸν αὐτοκατάκριτον, τὸν παρὰ πάντας βροτούς, ἀσώτως βιώσαντα, καὶ οὐ καταπίνει με, ἀπορῶ καὶ φρίττω· ἀλλὰ σὺ ἡ διασώζουσα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Καταβασία.—Τὴν Θείαν ταύτην.**

**Κοντάκιον. Ἦχος γ'.—Ἡ Παρθένος σήμερον.**

Η σὴ ποίμνη σήμερον, λαμπροφανῶς ἑορτάζει, τὴν σὴν μνήμην Ἅγιε, Πνευματικῶς γηθομένη, χαίρει γάρ σε κεκτημένη ἄφθαρτον κλέος, ἄμαχόν τε προμαχῶνα κατ᾽ ἐναντίων, ὑπὲρ αὐτῆς Θεῷ πρεσβεύων, ἥτις καὶ πόθῳ ἀεὶ μεγαλύνει σε.

Ἕτερον.

**Ἦχος πλ. δ'.—Τῇ ὑπερμάχῳ.**

Τὸν θεοφόρον οἱ πιστοὶ καὶ ἀντιλήπτορα, τοῦ Σιναΐτου μαθητὴν θεῖον δομήτορα, συνελθόντες Γρηγορίου ἡ πληθὺς πᾶσα, ἐγκωμίων ἀναπλέξωμεν τὸν στέφανον, καὶ Θεῷ χαριστηρίους ὕμνους ᾄδοντες, ἀνακράζομεν, χαίροις Πάτερ Γρηγόριε.

**Ὁ Οἶκος.**

Τίς τὰς σεπτάς σου ἀρετὰς ἀξίως καὶ ἱκανῶς ἀνυμνήσει Θεόφρον Πάτερ Γρηγόριε; τὴν σωφροσύνην, τὴν ὑπομονήν, τὴν ταπείνωσιν, τὰς πρὸς Θεὸν ἀπαύστους ὑμνῳδίας, τὴν ἄκραν σκληραγωγίαν, καὶ ἄμετρον ἐγκράτειαν δι᾽ ὧν Ἀγγέλοις ἐφάμιλλος γενόμενος πρεσβεύεις ἀεὶ ὑπὲρ παντὸς τοῦ κόσμου, ἐξαιρέτως δὲ ὑπὲρ τῆς ποίμνης σου ταύτης, ἥτις καὶ πόθῳ ἀεὶ μεγαλύνει σε.

Τῇ Τρίτῃ Κυριακῇ τοῦ Ματθαίου.

Τὴν μνήμην ἑορτάζομεν τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γρηγορίου, τοῦ Κτίτορος τῆς Ἱερᾶς Μονῆς ταύτης, τὴν ὁποίαν ἀνήγειρεν εἰς ὄνομα καὶ μνήμην τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ.



Στίχοι

Κτίτωρ Μονῆς σὺ Νικολάου ὡράθης
Ὅθεν κατοικεῖς ἐν μοναῖς ταῖς τοῦ Πόλου
Ἑβδομάτι Δεκεμβρίου πόλον κατῴκησεν Γρηγόριος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς.

**Ὠδὴ ζ'. Ὁ Εἱρμὸς**

Ἀντίθεον πρόσταγμα παρανομοῦντος, τυράννου μετάρσιον, τὴν φλόγα ἀνεῤῥίπισε· Χριστὸς δὲ ἐφήπλωσε, θεοσεβέσι παισί, δρόσον τὴν τοῦ Πνεύματος· ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

**Τροπάριον.**

Οὐκ ἔφερες Δέσποτα δι᾽ εὐσπλαγχνίαν, θανάτῳ τὸν ἄνθρωπον, καθορᾷν τυραννούμενον, ἀλλ᾽ ἦλθες καὶ ἔσωσας ἰδίῳ αἵματι, ἄνθρωπος γενόμενος, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ἰδόντες σὲ ἔπτηξαν ἠμφιεσμένον, στολὴν ἐκδικήσεως, οἱ πυλωροὶ τοῦ Ἅδου Χριστέ· ἀγνώμονα τύραννον, οἰκέτην Δέσποτα, ἦλθες γὰρ χειρώσασθαι, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

**Θεοτοκίον.**

Ἁγίων Ἁγίαν σὲ κατανοοῦμεν, ὡς μόνην κυήσασαν Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε ἀμόλυντε, Μῆτερ ἀνύμφευτε· πᾶσι γὰρ ἐπήγασας πιστοῖς τὴν ἀφθαρσίαν τῷ θείῳ Τόκῳ σου.

**Τῆς Θεοτόκου.— Ῥήτορες ἀνεδείχθησαν Παῖδες.**

Ἑώρα ἐν νυκτὶ Ἰακὼβ μέν, ὡς ἐν αἰνίγματι, Θεὸν σεσαρ-

κωμένον· ἐκ σοῦ δὲ ἐν φρυκτωρίᾳ ὤφθη τοῖς μέλπουσι. Ὁ ὑπέρθεος τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος. (Δίς).

Σύμβολα τῆς ἐν σοὶ ἀπορρήτου, προκαταγγέλλων συμπλοκῆς, τῷ Ἰακὼβ προσπαλαίει, δι' ἧς ἑκὼν ἡνώθη ἀνθρώποις Ἁγνή, ὁ ὑπέρθεος τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Βέβηλος ὁ μὴ ἕνα κηρύττων, τὸν τῆς Παρθένου σὲ Υἱόν, τῆς Πανυμνήτου Τριάδος, καὶ ἀδιστάκτῳ γνώμῃ καὶ γλώσσῃ βοῶν· ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

### Τοῦ Ἁγίου Γρηγορίου.— Παῖδες Ἑβραίων

Ὅτε τὸ στῖφος τῶν βαρβάρων, πλοιαρίοις συνεκύκλωσε τὸν Ἄθω, τότε τούτου σοφὲ βουλὰς διασκεδάσας, ὅλον σαυτὸν ἐπέδωκας, ἀρωγὸν τοῖς ἐνοικοῦσι. (Δίς).

Ρείθροις κατέπαυσας δακρύων, παναοίδιμε τὸ θράσος τῶν βαρβάρων, κυκλωσάντων ποτὲ Μονήν σου τὴν Ἁγίαν, τῷ ἰσχυρῷ γὰρ κέκραγας, ἀντιλήπτορι καὶ ῥύστῃ (Δίς).

### Δόξα.

Ὄρος τοῦ Ἄθω ἐγκαυχᾶται, τοῖς ἀγῶσί σου Γρηγόριε τρισμάκαρ, ἡ ἐκκλησία δὲ ὡσαύτως, τοῖς θαύμασί σου χαίρει, ἡ Γρηγορίου δὲ Μονή, ἐν τῇ σῇ ὁμωνυμίᾳ.

### Καὶ νῦν.

Ρεῖθρον ἰάσεώς μοι βλῦσον, καὶ κατάσβεσον τὴν κάμινον Παρθένε, ἡδονῶν καὶ παθῶν, πταισμάτων τε καὶ νόσων· σὺ γὰρ πηγὴ βλυστάνουσα, ζωῆς θείας γλυκὺ ῥεῖθρον.



### Καταβασία. — Οὐκ ἐλάτρευσαν.

### Ὠδὴ η΄. Ἀναστάσιμος Εἱρμός.

Κάμινος ποτέ, πυρὸς ἐν Βαβυλῶνι, τὰς ἐνεργείας διεμέριζε, τῷ Θείῳ προστάγματι, τοὺς Χαλδαίους καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα, ψάλλοντας: Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

### Τροπάριον.

Αἵματι Χριστέ, τῷ σῷ πεφοινιγμένην, τὴν τῆς σαρκός σου καθορῶντα στολήν, ἐν τρόμῳ ἐξίσταντο, τὴν πολλὴν μακροθυμίαν σου, τὰ τῶν Ἀγγέλων τάγματα κράζοντα: Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σύ μου τὸ θνητόν, ἐνέδυσας Οἰκτίρμον, ἀθανασίαν τῇ ἐγέρσει σου· διὸ ἀγαλλόμενος, εὐχαρίστως ἀναμέλπει σοι, ὁ ἐκλεκτὸς λαὸς Χριστὲ κράζων σοι: Κατεπόθη ὄντως εἰς νῖκος ὁ θάνατος.

### Θεοτοκίον.

Σὺ τὸν τοῦ Πατρός, ἀχώριστον ἐν μήτρᾳ θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας, Θεογεννῆτορ Πάναγνε, ὅθεν σὲ σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα.

### Τῆς Θεοτόκου.—Ἰνδάλματος χρυσοῦ.

Ὡράθη ἐπὶ γῆς, διὰ σοῦ καὶ τοῖς ἀνθρώποις συνανεστράφη ὁ ἀγαθότητι ἀσύγκριτος, καὶ δυνάμει, ᾧ μελῳδοῦντες πάντες οἱ πιστοὶ κραυγάζομεν: Ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψοῦτω εἰς πάντας τοὺς αἰῶνας. (Δίς).

Κυρίως σὲ Ἁγνήν, καταγγέλλοντες δοξάζομεν Θεοτόκε· σὺ γὰρ τὸν ἕνα ἀπεκύησας, τῆς Τριάδος σεσαρκωμένον, ᾧ σὺν τῷ Πατρί, καὶ Πνεύματι πάντες μελῳδοῦμεν: Ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. (Δίς).

**Τοῦ Ἁγίου Γρηγορίου. — Ἑπταπλασίως κάμινον.**

Μίαν φροντίδα θέμενος, ἐν ψυχῇ τὴν ἀνάγουσαν, πρὸς τὸν κατελθόντα, δι' ἡμᾶς χρηστότητι, τῶν ἄλλων ἠλόγησας, ὡς μὴ μενόντων τε καὶ φθαρτῶν, καὶ μετὰ τῆς ὕλης, συναπέθου τὴν ὕλην βοῶν σὺν παῤῥησίᾳ, ἱερεῖς εὐλογεῖτε, λαοὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. (Δίς).

Προσυπαντᾷ θεσπέσιε, τῶν ὁσίων ὁ θίασος, ἅμα φιλοχρίστῳ τε λαῷ Γρηγόριε, τῷ σῷ ναῷ ἅπαντες, ἐν εὐφροσύνῃ ψυχῆς πολλῇ τὸν Δημιουργὸν καὶ χορηγὸν ἐκβοῶντες, οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, ἡμῖν τὸν παρασχόντα, τὸν φύλακα καὶ ῥύστην. (Δίς).

**Δόξα.**

Ὡς τοῦ Χριστοῦ θεράποντα, διὰ βίου γενόμενον, καὶ οἰκειωθέντα ἀρεταῖς τῷ Κτίστῃ σου σὲ μάκαρ Γρηγόριε, ἐκλιπαροῦμεν ὑπὲρ ἡμῶν, τῶν τὴν Ἱεράν σου, ἑορτὴν ἐκτελούντων, συντόνως τῷ Δεσπότῃ, ἱκεσίας προσάγειν, ὅπως τῆς αἰωνίου κολάσεως ῥυσθῶμεν.

**Καὶ νῦν.**

Ὁ ποταμὸς τῆς χάριτος, ὁ λουτὴρ τῶν ἰάσεων· ὁ τῆς εὐφροσύνης, καὶ ἀγαλλιάσεως, κρατὴρ ἀνεξάντλητος, Θεογεννῆτορ Δέσποινα, ἴασαι κἀμὲ τὸν ἐπὶ κλίνης ὀδύνης, οἰκτρῶς παρεῤῥιμμένον, ὥσπερ ἄψυχον φόρτον, καὶ κέρασόν μοι πόμα παρεκτικὸν ὑγείας.



**Καταβασία. — Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.**

**Ὠδὴ θ'. — Ἀναστάσιμος ὁ Εἱρμός.**

Ἀνάρχου Γεννήτορος, Υἱὸς Θεὸς καὶ Κύριος, σαρκωθεὶς ἐκ Παρθένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτίσαι, συναγαγεῖν τὰ ἐσκορπισμένα· διὸ τὴν πανύμνητον, Θεοτόκον μεγαλύνομεν.

**Τροπάριον.**

Ὡς ἐν Παραδείσῳ φυτευθέν, ἐν τῷ Κρανίῳ Σωτήρ, τὸ τρισόλβιον ξύλον, τοῦ σοῦ ἀχράντου Σταυροῦ, αἵματι καὶ ὕδατι θείῳ, ὡς ἐκ πηγῆς τῆς θείας πλευρᾶς σου, Χριστὲ ἀρδευόμενον, τὴν ζωὴν ἡμῖν ἐξήνθησε.

Καθεῖλες δυνάστας, σταυρωθεὶς ὁ Παντοδύναμος, καὶ τὴν κάτω κειμένην, ἐν τῇ τοῦ Ἅδου φρουρᾷ, φύσιν τῶν ἀνθρώπων ὑψώσας, τῷ πατρικῷ ἐνίδρυσας θρόνῳ· μεθ' ἧς σὲ ἐρχόμενον, προσκυνοῦντες μεγαλύνομεν.

**Τριαδικόν**

Μονάδα τρισάριθμον, Τριάδα ὁμοούσιον, ὀρθοδόξως ὑμνοῦντες, πιστοὶ δοξάσωμεν, ἄτμητον, ὑπέρθεον φύσιν, τρισσοφεγγῆ, ἀνέσπερον αἴγλην, τὴν μόνην ἀκήρατον, τὴν τὸ φῶς ἡμῖν ἐκλάμπουσαν.

**Τῆς Θεοτόκου. — Ὅλος ὑπάρχεις ἔφεσις**

Ῥάβδος ἰσχύος δέδοται, φύσει τῇ σαθρᾷ, Λόγος Θεοῦ, ἐν μήτρᾳ σου Ἁγνή, καὶ ταύτην ἀνέστησε πρὸς Ἅδην ὀλισθήσασαν· διό σε Πάναγνε, ὡς Θεοτόκον μεγαλύνομεν. (Δίς).

ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ

Ην ἠρετίσω Δέσποτα, δέξαι συμπαθῶς, πρέσβυν Μητέρα, σὴν ὑπὲρ ἡμῶν, καὶ σοῦ τῆς χρηστότητος, τὰ σύμπαντα πλησθήσονται· ἵνα σὲ ἅπαντες ὡς εὐεργέτην μεγαλύνωμεν. (Δίς).

**Τοῦ Ἁγίου.—Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.**

Ἀνέτειλε Χριστὸς σοὶ ἄνωθεν φῶς, ὑπωρείας μονάζοντι Ἄθωνος. Ὅθεν Μονήν, ἐδομήσω μάκαρ περιφανῆ, Ἀρχιεράρχῃ θείῳ τε, κλεινῷ Νικολάῳ θαυματουργῷ, μεθ' οὗ καὶ νῦν δυσώπει, ἀτρώτους διαμένειν, τοὺς ἐν αὐτῇ καλῶς μονάζοντας. (Δίς).

Οἱ πόθῳ ἐνοικοῦντες τῇ σῇ Μονῇ, πανσεβάσμιε πάτερ Γρηγόριε, τὴν σὴν σεπτήν, ἀναλογιζόμενοι βιοτήν, ὑψοποιὸν ταπείνωσιν, τὸ ἐν ἀγρυπνίαις καὶ προσευχαῖς, νηστείαις ὑπὲρ φύσιν, πληρούμεθα δακρύων, καὶ σὲ ἐκ πόθου μακαρίζομεν. (Δίς).

**Δόξα.**

Σὺν πᾶσι τοῖς Ἁγίοις, πάτερ σοφέ, Ἀποστόλοις ὁσίοις καὶ Μάρτυσι, καὶ τοῖς χοροῖς, τῶν θείων Ἀγγέλων χοροβατῶν, τῷ θείῳ Ἱεράρχῃ τε, Μύρων τῆς Λυκίας ἀεὶ σκηνῶν, πανσέπτῳ Νικολάῳ, πρεσβείαν ἐκτελεῖτε, ὑπὲρ ἡμῶν τῶν ἀνυμνούντων ὑμᾶς.

**Καὶ νῦν.**

Σωτήριος γενοῦ μοι πύργος Ἁγνή, τῶν δαιμόνων ἀπείργων τὰς φάλαγγας, καὶ πειρασμῶν, ὄχλον καὶ κινδύνων ἀποσοβῶν· καὶ τῶν παθῶν τὴν ἔφοδον, πόῤῥῳ ἀπελαύνων, καὶ καθαρὰν διδοὺς ἐλευθερίαν, καὶ θείων χαρισμάτων, τὴν ἀφθονίαν παρεχόμενος.



**Καταβασία.—Ἅπας γηγενής.**

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ

**Ἀναστάσιμον.**

Ὅτι Χριστὸς ἐγήγερται, μήτις διαπιστείτω· ἐφάνη τῇ Μαρίᾳ γάρ· ἔπειτα καθωράθη, τοῖς εἰς ἀγρὸν ἀπιοῦσι· Μύσταις δὲ πάλιν ὤφθη, ἀνακειμένοις ἕνδεκα, οὓς βαπτίζειν ἐκπέμψας, εἰς οὐρανούς, ὅθεν καταβέβηκεν ἀνελήφθη, ἐπικυρῶν τὸ κήρυγμα, πλήθει τῶν σημείων.

**Τοῦ Ἁγίου Γρηγορίου.—Γυναῖκες ἀκουτίσθητε.**

Γρηγόριον τιμήσωμεν, τὸν Ἱερὸν φιλέορτοι τῶν ἐν τῷ Ὄρει τοῦ Ἄθω, ἀνύσαντα, τοὺς ἀγῶνας καὶ πρὸς αὐτὸν βοήσωμεν, χαίροις ὁσίων σέμνωμα, ἡμῶν δὲ μέγα καύχημα, τὸν τὴν Μονήν σου οἰκούντων, καὶ σὲ ἀπαύστως τιμώντων.

**Θεοτοκίον.**

Ὁ ἀνατείλας Ἥλιος, ἐκ παστοῦ ὡς Νυμφίος, ἀπὸ τοῦ τάφου σήμερον, καὶ τὸν Ἅδην σκυλεύσας, καὶ θάνατον καταργήσας, σὲ Τεκούσης πρεσβείαις, φῶς ἡμῖν ἐξαπόστειλον, φῶς φωτίζον, καρδίας καὶ τὰς ψυχάς, φῶς βαδίζειν ἅπαντας ἐμβιβάζον, ἐν τρίβοις προσταγμάτων σου, καὶ ὁδοῖς τῆς εἰρήνης.

### ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ.

*Ἱστῶμεν στίχ. η'. καὶ ψάλλομεν στιχηρ. α'. Ἀναστάσιμον δ'. καὶ τοῦ Ἁγίου Γρηγορίου δ'.*

**Ἦχος β'.**

Πᾶσα πνοή, καὶ πᾶσα κτίσις, σὲ δοξάζει Κύριε, ὅτι διὰ τοῦ Σταυροῦ τὸν Θάνατον κατήργησας, ἵνα δείξῃς

τοῖς Λαοῖς, τὴν ἐκ Νεκρῶν σου Ἀνάστασιν, ὡς μόνος φιλάνθρωπος.

Εἰπάτωσαν Ἰουδαῖοι, πῶς οἱ Στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα· διατί γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν Πέτραν τῆς ζωῆς, ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνείτωσαν, λέγοντες σὺν ἡμῖν· Δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι.

Χαίρετε λαοί, καὶ ἀγαλλιᾶσθε· Ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ μνήματος· αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. Χαίρετε Λαοί, καὶ ἀγαλλιᾶσθε.

Ἄγγελος μὲν τὸ χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν· Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου μνήματος, ἐν τῇ σῇ Ἀναστάσει ἐκύλισεν. Ὁ μὲν ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων· ὁ δὲ ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. Διὸ βοῶμεν σοι· Εὐεργέτα τῶν ἁπάντων Κύριε δόξα σοι.

**Καὶ τοῦ Ἁγίου Γρηγορίου ἦχος α΄.—Τῶν οὐρανίων ταγμάτων.**

Τῶν φιλεόρτων τὰ πλήθη, δεῦτε συνδράμωμεν, καὶ ἐν ᾠδαῖς ᾀσμάτων, εὐφημήσωμεν πάντες, τὸν φίλον τῆς Παρθένου καὶ τοῦ Χριστοῦ, ἐράσμιον θεράποντα τὸν ἡμῶν προστάτην τε καὶ φρουρόν, Γρηγόριον τὸν δομήτορα.

Ἀπὸ παντοίων σκανδάλων, καὶ πάσης θλίψεως, ἀπὸ παθῶν καὶ νόσων, τῶν ψυχῶν καὶ σωμάτων, βλάβης τε παντοίαις ἀπὸ ἐχθρῶν, αἰσθητῶν νοουμένων τε, τοὺς σὲ τιμῶντας ἐκ πόθου σῶζε ἀεί, παμμακάριστε Γρηγόριε.



Στίχος : Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Τοῦ Γρηγορίου τὴν μνήμην, νῦν ἑορτάζομεν, δι᾽ ἧς ἡμῖν πηγάζει, ἡ ἀέναος χάρις Χριστοῦ τοῦ Ζωοδότου, καὶ γὰρ αὐτός, τοὺς ἐχθροὺς τροπωσάμενος, τοὺς νοητοὺς τῶν δαιμόνων καὶ τῶν παθῶν, τὴν ἐξουσίαν ἐκομίσατο.

Στίχος : Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Δίδου καμοὶ σῷ ἱκέτῃ τὴν εὐλογίαν σου, καὶ σύγγνωθί μοι Πάτερ εὐλαβῶς εὐφημοῦντι, ἐν ταύτῃ τῇ πανδήμῳ τῶν εὐσεβῶν πανηγύρει, καὶ ῥῦσαί με ἐκ τῶν τοῦ βίου κινδύνων καὶ πειρασμῶν, τοῦ ἀλάστορος ἀπάλλαξον.

**Δόξα. Ἦχος πλ. δ.΄**

Δεῦτε ἀζύγων ἡ χορεία, ἐν ᾠδαῖς πνευματικαῖς, κατατέψωμεν τὸ πανσέβαστον σκῆνος τοῦ θεοφόρου πατρὸς ἡμῶν, καὶ πιστῶς ἐκβοήσωμεν : χαίροις ἡ τῶν θαυμάτων πηγή, καὶ τῶν νοσούντων ταχὺς θεραπευτής· χαίροις ἡ τῶν λυπουμένων παραμυθία, καὶ τῶν ἐν κινδύνοις ἀπροσμάχητος σωτηρία, ἀλλ᾽ ὦ Πάτερ Γρηγόριε, ὡς τὰς ἐφόδους ποτὲ τῶν βαρβάρων διεσκέδασας, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, καὶ τὴν σὴν σεπτὴν Μονὴν ἀβλαβῆ διεφύλαξας, οὕτω καὶ νῦν, τοὺς ἐν αὐτῇ τιμῶντας σε, καὶ ἐκ πόθου τελοῦντας τὴν σεβάσμιον μνήμην σου, ἐκ πάσης ἐπιδρομῆς καὶ βλάβης τοῦ ἀντικειμένου, ἐλευθέρωσον, καὶ πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. — Ὑπερευλογημένη.**

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου, ᾠδὴ γ.΄ ς.΄

## ΜΕΓΑΛΥΝΑΡΙΑ

Χαίροις τῆς ἑῴας θεῖος βλαστός, χαίροις τῶν ἐν Ἄθῳ μοναζόντων ὑπογραμμός, χαίροις τῆς Μονῆς σου προπύργιον καὶ κλέος, Γρηγόριε τρισμάκαρ, φρούρει τὴν ποίμνην σου.

Ἕτερον.

Χαίροις τῆς ἑῴας βλαστὸς σεπτός, χαίροις τῶν ἐν Ἄθῳ μοναζόντων στάθμη τε καὶ κανών, καὶ Μονῆς ταύτης ἀκοίμητος προστάτης, Γρηγόριε τρισμάκαρ ἣν φρούρει ἄτρωτον.

Ἕτερον.

Ἔχει δὲ τὸ πνεῦμά σου ὁ οὐρανός, καὶ ἡμεῖς πλουτοῦμεν τὴν εἰκόνα σου τὴν σεπτήν, ἣν περικυκλοῦντες μετ᾽ ἀνεικάστου πόθου, τιμῶντες προσκυνοῦμεν αὐτὴν Γρηγόριε.



Ὀκτωβρίου 29. κθ΄.

## ΑΚΟΛΟΥΘΙΑ

### τῆς Ἁγίας Ὁσιοπαρθενομάρτυρος ΑΝΑΣΤΑΣΙΑΣ — τῆς Ρωμαίας. —

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ στιχ. προσόμοια.

**Ἦχος δ.΄ — Ἔδωκας σημείωσιν**

Κάλλει διαλάμπουσα, ἡ ὡραιότης τοῦ σώματος, καὶ τῆς ψυχῆς σου ἡ ἔνθεος, ὡς ῥόδον γὰρ ἔλαμψας, ὦ Ἀναστασία, ἐν Μοναῖς Ὁσίων, καὶ ταῖς δι᾽ αἵματος ῥοαῖς, πεφοινιγμένη, ὡς νύμφη ἄμωμος, μονὴ τερπνὴ σὲ ἐδέξατο, καὶ λαμπρότατος θάλαμος, ὡς Παρθένον καὶ Μάρτυρα. (Δίς).

Ἄθλησιν ὑπέμεινας, Ἀναστασία πανθαύμαστε, τῇ σῇ κλήσει κατάλληλον, ἱδρῶσιν ἀσκήσεως, μαρτυρίου αἷμα, συγκερασαμένη, ὅθεν καὶ στέφανον διπλοῦν, ὁ στεφοδότης σοὶ ἐχαρίσατο, πρὸς ὃν καὶ ἀνεγλύκανας, πεποικιλμένη τοῖς στίγμασι, ὡς παρθένος πανάμωμος, καὶ ὡς Μάρτυς ἀήττητος.

Ἔρωτι πανεύφημε, κεκρατημένη τοῦ κτίστου σου, τὰ ἐκείνου παθήματα, σαρκὶ ἐξεικόνισας, πᾶσαν τρικυμίαν, πόνων ἐνεγκοῦσα, καὶ νῦν οἰκεῖς τοὺς οὐρανούς, ἄπονον δό-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ξαν καὶ στέφος φέρουσα ἀμάραντον καὶ βλέπουσα ἃ θεωροῦσι γηθόμενα, τῶν Ἀγγέλων τὰ Τάγματα, ἀθλοφόρων τὸ καύχημα.

**Δόξα ἦχος δ'.**

Τῷ κάλλει τῆς ψυχῆς σου Ὁσία, ὡραϊσμένη καὶ τοῦ σώματος, προσενήνεξαι τῷ Χριστῷ διὰ τοῦ Μαρτυρίου, καὶ παρ' αὐτοῦ διπλοῦν τὸ στέφος ἀνεδήσω, Ὁσιομάρτυς Ἀναστασία ἀοίδιμε, ἀλλ' ὡς ἔχουσα παῤῥησίαν πρὸς αὐτόν, ἐκτενῶς ἱκέτευε ὑπὲρ ἡμῶν, τῶν πιστῶς τελούντων σου τὸ μνημόσυνον.

**Καὶ νῦν Θεοτοκίον.—Ἐκ παντοίων κινδύνων.**

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια.

**Ἦχος β'.—Οἶκος τοῦ Εὐφραθᾶ.**

Δεῦτε χαρμονικῶς, φιλομάρτυρες πάντες ἐπὶ τῆς ἀθλοφόρου, τὴν μνήμην καὶ χορείαν, πιστῶς ἐπιτελέσωμεν.

Στίχος: Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Πάντοτε πρὸς Χριστόν, ἱκετηρίαν ποίει, ὑπὲρ τῶν ἐκτελούντων, τὴν Πάνσεπτόν σου μνήμην, Ἀναστασία Πάναγνε.

Στίχος: Καὶ ἔστησαν ἐπὶ πέτραν τοὺς πόδας μου.

Δόξα τῶν ἀσκητῶν, καὶ κλέος τῶν Μαρτύρων, Παρθενομάρτυς πέλεις, διὸ ἐν τῇ σῇ μνήμῃ πιστῶς πανηγυρίζομεν.

**Δόξα ἦχος β'.**

Ὁσιομάρτυς Ἀναστασία, ἀθλοφόρε ἀήττητε, ὥσπερ ἀλάβαστρον μύρου τὸ αἷμά σου, τῷ σῷ Νυμφίῳ Χριστῷ προσαγομένη, ἀντάμειψιν ἐκομίσω τὸν ἀμαράντινον



στέφανον, καὶ ταῖς χορείαις τῶν παρθένων καὶ τῶν μαρτύρων συναγελάζουσα, ὑπὲρ ἡμῶν δυσώπει τὸν Κύριον, τοῦ σωθῆναι, τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. — Τὴν πᾶσαν ἐλπίδα μου.**

---

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

Ἱστῶμεν στίχ. η'. καὶ ψάλλομεν στιχ. προσόμοια.

**Ἦχος δ'.—Ὡς γενναῖον ἐν Μάρτυσι.**

Τὰς στρεβλώσεις τοῦ σώματος, καὶ μαστῶν τὴν ἀφαίρεσιν, καὶ χειρῶν ὑπέφερες καρτερώτατα, τὴν τῶν ὀδόντων ἐκρίζωσιν, πλευρῶν τὴν κατάφλεξιν, καὶ ποδῶν τὴν ἐκκοπήν, καὶ τὸν ἄδικον θάνατον, ὅθεν εἴληφας, τοὺς στεφάνους τῆς νίκης, οὐρανίοις, ἐν θαλάμοις κατοικοῦσα, Ἀναστασία πολύαθλε. (Δὶς)

Παρθενίας κειμήλιον, κεκλεισμένος Παράδεισος, ἱερὸν ἀνάθημα, θεῖον τέμενος, νύμφη Χριστοῦ Πανακήρατε, καὶ ἔμψυχον ἄγαλμα, ἀσκουσῶν ὑπογραμμός, τῶν μαρτύρων ἀγλάϊσμα, κρήνη βρύουσα, ποταμοὺς ἰαμάτων ἀνεδείχθης, τοῖς τελοῦσι σου τὴν μνήμην, Ἀναστασία Πανεύφημε.

Τῶν μαρτύρων ἀγλάϊσμα, τῶν παρθένων ἀπάνθισμα, τῶν Ὁσίων μέγιστον ἐγκαλλώπισμα, Ἀναστασία πολύαθλε, τῆς Ῥώμης τὸ καύχημα, καὶ τερπνότατον Θεοῦ, καὶ ἀμώμητον σφάγιον, τὴν ἀκράδαντον, εὐσεβείας κρηπῖδα, δεῦτε πάντες, ἀνυμνήσωμεν προθύμως, περιφανῶς ἐναθλήσασαν.

Ἕτερα

**Ἦχος α΄.—Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ παραδόξου θαύματος, ἡ νεάνις Χριστοῦ, πῶς ἐν γῇ ἐβίωσεν, ὡς Ἄγγελος οὐρανοῦ, τὸν μόνον Κύριον, δοξάζουσα εὐσεβῶς, ἐπιτυχεῖν δὲ τῆς τούτου ἐλλάμψεως, ὑπέφερε τὰ δεινά, καὶ ὑπὲρ ἄνθρωπον πόνους ἡ πάνσεμνος ὅθεν ἀνεκφράστως χαίρει, νῦν εἰς τὰ οὐράνια, καὶ λαμπρὰ τῶν δικαίων, καὶ ὑπέρτιμα σκηνώματα. (Δίς.)

Ὅτε ὁ τροχὸς συνέτριψε, πάντα σου ὀστέα, καὶ ἡ στάσις ἅπασα, τῶν νευρῶν καὶ τῶν φλεβῶν ἀνεσκευάζετο, ἐβόησας πρὸς Θεόν, καὶ τῶν δεινῶν σὲ παρθένε ἐρρύσατο, καὶ ῥῶσιν σοὶ τῇ αὐτοῦ θεραπαινίδι ταχέως παρέσχετο, ὁ ταχὺς Ἀναστασία, πάντων εἰς βοήθειαν, καὶ παρέχων τῷ κόσμῳ, τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

Δεῦτε οἱ πιστοὶ τὴν εὔσημον, καὶ λαμπρὰν ἑορτήν, εὐλαβῶς τιμήσωμεν, τῆς μάρτυρος τοῦ Χριστοῦ, ἥνπερ ἐδέξατο, ἡ ἄληκτος χαρμονή, ὡς παῤῥησίᾳ τὴν πίστιν κηρύξασαν, καὶ μέλη καὶ κεφαλήν, ἀποτμηθεῖσαν ἀγάπῃ τοῦ κτίσαντος, τὴν Ἀναστασίαν ὄντως, στήλην τῆς ἀθλήσεως, ἧς τῇ θείᾳ πρεσβείᾳ, Ἰησοῦ σῶσον τὸν κόσμον σου.

**Δόξα ἦχος πλάγ. α΄.**

Ἐν τῇ καρτερᾷ ἀθλήσει, τῆς παρθενοάθλου κόρης, Ἀγγέλων, εὐφράνθη πληθύς, ἐν ᾗ ὁ Χριστὸς ἀοράτως παρίστατο, καὶ πλῆθος Θεῶν ψευδωνύμων ἐσβέννυτο, ὁ μὲν εὐσεβῶς καὶ πιστῶς δοξαζόμενος, οἱ δὲ ὡς καπνὸς καὶ σκοτία δεικνύμενοι, ἀλλὰ ταύτην σου Ἀναστασία, τὴν ἐτήσιον μνήμην, τοὺς τελοῦντας ἀπήμονας φύλαττε, ἐκ παντοίας



συμφορᾶς, καὶ δεινῆς περιστάσεως, καὶ τὸν οἶκόν σου τοῦτον στερέωσον, ἄχρι τερμάτων αἰῶνος, ὡς πρὸς Θεὸν παῤῥησίαν ἔχουσα.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος. ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. Τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ· νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. Ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὤν, καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Εἶτα Εἴσοδος.—Φῶς ἱλαρόν.—Τὸ προκείμενον, τὰ ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος: πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ με μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεός· καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται· ἐγώ εἰμι ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾿ ἀρχῆς ἐγώ εἰμί, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. ποιήσω, καὶ τίς ἀποτρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ . . . . (Σελὶς 6).

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσιν . . . (Σελὶς 6).

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Στιχηρὰ Ἰδιόμελα. Ἦχος α'.—Ἐνατενίσας ἀκλινῶς (Ὅρα σελίδα 7).

**Ἦχος β'.**

Ἀρωγὸν κτησαμένη τὸν Χριστὸν Ἀναστασία, τῶν ὑλικῶν πάντων κατεφρόνησας, καὶ τὸ σῶμα δι' αὐτόν, τῷ πονηρῷ διώκτῃ ἀνδρικῶς παρέδωκας, εἰς ἄμετρα βάσανα, διελέγχουσα τρανῶς τῶν εἰδώλων τὴν ἀπάτην, ὅθεν τῆς ἀλήκτου χαρᾶς ἠξίωσαι, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ὁ Αὐτὸς**

Κινείσθω πρὸς τὴν σήν, Ἀναστασία εὐφημίαν, πᾶν στόμα πολύαθλε, ὅτι πᾶν μέλος τῆς ἁγίας σου σαρκός, διὰ Χριστὸν αἰκίας ἀνδρικῶς ὑπέμεινεν, ἡ γλῶσσα τὴν ἐκκοπήν, τὴν ἐκρίζωσιν οἱ ὀδόντες, οἱ μαστοὶ τὴν ἀφαίρεσιν, τὴν δὲ τομὴν οἱ πόδες ταῖς χερσὶ σὺν τοῖς δακτύλοις, τὰ στέρνα τὴν κατάφλεξιν, καὶ τὸ πρόσωπον τὰ ραπίσματα, διὰ φασγάνου δὲ τὸ μακάριον δεξαμένη τέλος, ἀνέπτης πρὸς Κύριον, ἀλλὰ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ὁ Αὐτὸς**

Ἀκλινεῖ διανοίας ὄμματι, ταῖς θείαις καλλοναῖς ἐνοπτριζομένη, πάντων τῶν ἐν γῇ ἡδέων κατεφρόνησας, καὶ τῶν χαλεπῶν ἀλγηδόνων τοῦ σώματος, ἀξιάγαστε Ἀναστασία, ἀληθείας ὅπλοις φραξαμένη, ὅθεν αὐτουργὸς θαυμάτων γέγονας, ταῖς εὐχαῖς σου πάντας περισῴζουσα.

**Ὁ Αὐτὸς**

Ὥσπερ ἀνάλγητον περικειμένη σῶμα, γενναιοτάτῳ λογισμῷ τοῦ πυρὸς κατεφρόνησας, καὶ τοῦ δι' ὀνύχων σιδηρῶν δριμυτάτου ξεσμοῦ, τοῦ παρθενικοῦ καὶ ἁγίου σου σώματος, τὸν δὲ παράνομον τύραννον, καὶ τὰ τούτου κωφὰ σεβάσματα, χλευάζουσα οὐκ ἐπαύσω, τῇ Θεολόγῳ σου φωνῇ, ἕως οὗ τὴν γλῶτταν ἐτμήθης πικρῶς, πυρὶ θείῳ φλεγομένη, καὶ φίλτρῳ τοῦ κτίστου σου, ὃν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



**Δόξα ἦχος πλάγ. δ'.**

Ἔνδοξε κόρη, ὁσία καὶ μάρτυς, Παρθένε ἁγνή, τῆς Ῥώμης τὸ βλάστημα, νύμφη τοῦ Σωτῆρος, καὶ τῆς αὐτοῦ ἀναστάσεως, ἐπώνυμε, ὃν ἐν σταδίῳ ἀνδρικῶς ἐκήρυξας, μυκτηρίσασα ἐμφρόνως, τῶν ξοάνων τὴν ἀπάτην, καὶ ὑπενεγκοῦσα πολύπλοκα βάσανα, ῥῦσαι ἡμᾶς ταῖς εὐχαῖς σου ἀπὸ πάσης περιστάσεως, τοὺς δὲ δομησαμένους τὸ σὸν ἅγιον τέμενος, λύτρωσαι τῆς βλάβης τοῦ ἀλάστορος, καὶ πάσης κολάσεως.

**Καὶ νῦν Θεοτοκίον.—Δέσποινα πρόσδεξαι.**

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια.

**Ἦχος α'.—Τῶν οὐρανίων ταγμάτων.**

Πεποικιλμένη παρέστης, τῷ σῷ νυμφίῳ Χριστῷ, καὶ κατηγλαϊσμένη, ἀρετῶν λαμπηδόσιν, ἀξίαν εἴληφυῖα τῶν ἀρετῶν, καὶ βασάνων ἀντάμειψιν, Ἀναστασία τὸ κλέος μοναζουσῶν, καὶ Μαρτύρων τὸ ὡραΐσμα.

Στίχος; Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Ἡ τῶν αἱμάτων ῥοή σου, τὰς πύλας πάντιμε, ἠνέωξε Παρθένε, οὐρανοῦ σε καὶ ἔνδον, ἐδέξαντο χορεῖαι τῶν ἀθλητῶν, καὶ Ἁγίων τὰ τάγματα, περιχαρῶς ἐποπτεύουσαν τοῦ Θεοῦ, τὴν ἀνέκφραστον λαμπρότητα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Στίχος: Καὶ ἔστησαν ἐπὶ τὴν πέτραν.

Ἡ ἐκτομή σου τῆς γλώττης, ἀνακηρύττει τρανῶς, τὴν πρὸς Θεὸν ἀγάπην, Καλλιπάρθενε κόρη, τὴν δόξαν ἥνπερ εἴληφας ἐκ Θεοῦ, βεβαιοῦντά τεράστια, τοῦ θεσπεσίου λειψάνου σου τῆς Χριστοῦ ἀναστάσεως ἐπώνυμε.

**Δόξα ἦχος πλαγ. β΄.**

Ἐκ δυσμῶν ἀνατέταλκας, ὡς πάμφωτος ἥλιος, καὶ ἀκτῖσι τῶν ἄθλων σου, τὴν γῆν πᾶσαν κατηύγασας, καὶ τῶν εἰδώλων τὸν ζόφον, γενναίως διέλυσας, ἀσκητικῶς γὰρ τὰ πάθη καταβαλοῦσαν, μαρτυρικῷ σε στεφάνῳ κατέστεψεν ὁ Χριστός, καὶ ἀφράστου δόξης ἠξίωσεν, ἧς καὶ ἡμᾶς τυχεῖν, Ἀναστασία πρέσβευε.

**Καὶ νῦν Θεοτοκίον.—Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.**

Ἀπολυτίκιον

**Ἦχος δ΄. — Ταχὺ προκατάλαβε.**

Μαρτύρων τὸ ἤδυσμα, καὶ ἀσκουσῶν καλλονήν, παρθένων ἀγλάϊσμα καὶ σεμνολόγημα, τῆς Ῥώμης τὸ βλάστημα, πάντες Ἀναστασίαν, εὐφημήσωμεν ὕμνοις, νέμει γὰρ τὰς ἰάσεις, τοῖς προσψαύουσι πόθῳ, τῶν θείων αὐτῆς λειψάνων σορὸν τὴν μυρίπνοον.

Ἕτερον.

**Ἦχος γ΄. — Τὴν ὡραιότητα.**

Τὴν Ὁσιάθλον καὶ καλλιπάρθενον, Ῥώμης τὸ βλάστημα καὶ μέγα καύχημα, τῆς Ἀναστάσεως Χριστοῦ, ἀξίως τὴν ἐπώνυμον, δεῦτε εὐφημήσωμεν, Ἀναστασίαν τὴν πάνσεμνον, βρύει γὰρ ἰάσεων ἀκεσώδυνα φάρμακα, τοῖς τῶν λειψάνων αὐτῆς τὴν θήκην προσπτυσσομένοις μετὰ πίστεως.



Θεοτόκε Παρθένε. — Καὶ εὐλόγησις τῶν ἄρτων.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. στιχολογίαν Κάθισμα.

**Ἦχος α΄. — Τὸν τάφον σου Σωτήρ.**

Τῷ πόθῳ τοῦ Χριστοῦ, εἰς ἀνδρίαν τὸ θῆλυ, διὰ τῶν ἀρετῶν, μεταθεῖσα Ἁγία, Θεοῦ οἰκητήριον, ἀμφοτέρωθεν γέγονας, ἐκμειώσασα, τὴν τῶν παθῶν τυραννίδα, δι' ἀσκήσεως, μαρτυρικῷ δὲ στεφάνῳ, σαυτὴν κατεκόσμησας.

**Δόξα. τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.**

Μητέρα σὲ Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον,

Μετὰ τὴν β΄. στιχ.—Κάθισμα.

**Ἦχος πλ. δ΄.—Τὴν σοφίαν καὶ λόγον.**

Τὴν σοφίαν εὑροῦσα καθοδηγόν, συνεσχέθης τῷ πόθῳ τοῦ Ἰησοῦ, καὶ κόσμου τὰ πρόσκαιρα, ὡς φθαρτὰ καταλείψασα, τῇ δὲ πολλῇ ἀσκήσει, τὴν σάρκα ἐμάρανας, ἀεὶ τὰ ἀνεκλάλητα, ζητοῦσα σκηνώματα, ὅθεν ἐπὶ τέλει, μακαρία Παρθένε, καὶ μάρτυς ἠξίωσαι, γεγονέναι περίδοξος, δι' ὃ νῦν ἐπαγάλλει, τῇ χαρᾷ τοῦ νυμφίου σου ὦ Ἀ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ

ναστασία ἁγνὴ ταῖς σαῖς εὐχαῖς με ἀεὶ περιφρούρησον, πάσης συμφορᾶς, καὶ δαιμόνων κακώσεως.

**Δόξα τὸ αὐτό.—Καὶ νῦν Θεοτοκίον.**

Τῶν μυρίων χρεῶν μου τὸ πονηρόν, γραμματεῖον τῇ λόγχῃ τοῦ σοῦ Υἱοῦ, Δέσποινα διάῤῥηξον, καὶ παράσχου μοι δέομαι, χρεωλυσίαν πάντων, τελείαν ἀθώωσιν, ἐξ ἐρυθρῶν γραμμάτων, βαφέντων ἐν αἵματι, τῷ ἀποῤῥυέντι, τῆς ἀχράντου καὶ θείας πλευρᾶς τοῦ Σωτῆρός μου, εἰς βροτῶν ἀναγέννησιν, ἵνα χαίρων κραυγάζω σοι σωζόμενος, Θεοτόκε ἀειπάρθενε, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι συγχώρησιν, σὲ γὰρ ἔχω ὁ δοῦλός σου, προστασίαν ἀκαταίσχυντον,

Μετὰ τὸν πολυέλεον.—Κάθισμα.

**Ἦχος δ'.—Κατεπλάγη Ἰωσήφ.**

Καταπλήττεις τῶν βροτῶν, τὰς διανοίας ἀγαθή, τοῖς ἀμέτροις αἰκισμοῖς, ἐγκαρτεροῦσα τοῦ σταυροῦ, ἔχουσα κόρη τὴν δύναμιν ἐνεργοῦσαν, ῥῶσιν τῇ ψυχῇ σου παρέχουσαν, καὶ βλάβης τῶν δεινῶν ἀπαλλάττουσαν, καὶ ἐκβοᾶν καὶ λέγειν ἐν τῷ σταδίῳ, τὰ ὑπὲρ φύσιν φωτίζουσαν, Ἀναστασία, δόξα μαρτύρων, καὶ Ὁσίων ἀγλάισμα.

**Δόξα τὸ αὐτό.—Καὶ νῦν Θεοτοκίον ὅμοιον.**

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε· βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.



**Οἱ ἀναβαθμοὶ δ'. ἤχου.—Ἐκ νεότητός μου.**

Τὸ προκείμενον: Ὑπομένων ὑπέμενα τὸν Κύριον.

Στίχος: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.—Πᾶσα πνοή.

Εὐαγγέλιον.—Τῶν δέκα Παρθένων.

**Δόξα.—Ταῖς τῆς Ἀθλοφόρου. Καὶ νῦν.—Ταῖς τῆς Θεοτόκου.**

Εἶτα τὸ ἰδιόμελον.

**Ἦχος πλ. β'.**

Ἐκ δυσμῶν ἀνατέταλκας, ὡς πάμφωτος ἥλιος, καὶ ἀκτῖσι τῶν ἄθλων σου, τὴν γῆν πᾶσαν κατηύγασας, καὶ τῶν εἰδώλων τὸν ζόφον, γενναίως διέλυσας, ἀσκητικῶς γὰρ τὰ πάθη καταβαλοῦσαν, μαρτυρικῶς σε στεφάνῳ κατέστεψεν ὁ Χριστός, καὶ ἀῤῥάστου δόξης ἠξίωσεν· ἧς καὶ ἡμᾶς τυχεῖν Ἀναστασία πρέσβευε.

## ΟΙ ΚΑΝΟΝΕΣ

Ὁ κανὼν τῆς Θεοτόκου εἰς ϛ'. καὶ τῆς Ἁγίας Ἀναστασίας οἱ δύο εἰς η'.

Ὁ κανὼν τῆς Θεοτόκου ποίημα Ἰωσήφ.

**Ὠδὴ α'.—Ἦχος πλ. δ'.**

**Ὁ Εἱρμός.**

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα. (Δίς).

Δεδοξασμένα περὶ σοῦ λελάληται, δεδοξασμένη Ἁγνή, ἡ τῶν πιστῶν δόξα, μόνη χρηματίσασα· διὸ μελλούσης

δόξης με, κοινωνὸν σαῖς πρεσβείαις, δοξάζοντά σε ἀνάδειξον, Ἄχραντε πανάμωμε Δέσποινα.

Εὐλογημένος ὁ καρπὸς πανάμωμε, ὁ τῆς κοιλίας σου, δι' οὗ βροτοὶ πάντες, τῆς ἀρᾶς ἐλύθημεν, εὐλογημένη Πάναγνε· ἀνερμήνευτον θαῦμα, ἀκατανόητον ὅραμα, πάντων τῶν βροτῶν τὸ διάσωσμα.

Η τῶν Ἀγγέλων δυσωπεῖ σὲ Κύριε, πληθὺς ἑκάστοτε, τῶν μαθητῶν δῆμος, προφητῶν ὁ σύλλογος, μαρτύρων καὶ ὁσίων σου, διὰ τῆς Θεοτόκου, ἁμαρτημάτων συγχώρησιν, δώρησαι ἡμῖν ὡς φιλάνθρωπος.

Σὲ τὴν ἐν σπλάγχνοις δεξαμένην Ἄχραντε, τὸ πῦρ τὸ ἄστεκτον, ἐκδυσωπῶ πίστει τῆς γεέννης ῥῦσαι με, καὶ τῆς ἀποκειμένης μοι, διὰ πλῆθος πταισμάτων, κολάσεως ἐλευθέρωσον σοῦ ταῖς εὐπροσδέκτοις δεήσεσιν.

Ὁ κανὼν τῆς Ἁγίας

Οὗ ἡ ἀκροστιχίς: Τοὺς ἀνδρικούς σου μάρτυς εὐφημῶ πόνους Ἰωσήφ.

**Ἦχος ὁ αὐτός.—Ἄσωμεν τῷ Κυρίῳ.**

Ταύτην τὴν φωτοφόρον, μνήμην σου γεραίροντι Θεόνυμφε, φωτισμόν μοι παράσχου, τῆς ψυχῆς μου τὸ σκότος διώκουσα.

Ὅλην ἀπὸ σπαργάνων, σεαυτὴν ἀνέθηκας τῷ κτίστῃ σου, καὶ πυρὶ ἐγκρατείας, τὰ τοῦ σώματος πάθη κατέφλεξας.

Ὕψος πρὸς μαρτυρίου, μάρτυς ἀναστάσεως ἐπώνυμε, ἀνηνέχθης παστάδος, νοητῶς ὡς παρθένος ἠξίωσαι.



**Θεοτοκίον.**

Σὲ τὴν οὐρανομήκη κλίμακα, ἐν ᾗ Θεὸς ἐπεστήρικτο, τοὺς βροτοὺς οὐρανίους, ἐργαζόμενος κόρη γεραίρομεν.

Ἕτερος κανὼν τῆς Ἁγίας ἦχος δ'.

Οὗ ἡ ἀκροστιχίς.—Τὴν πολύαθλον Ἀναστασίαν μέλπω.

**Ὠδὴ α'.—Ἀνοίξω τὸ στόμα μου.**

Τῇ θείᾳ πρεσβείᾳ σου, ζόφου παθῶν ἐξανάστησον, τὸν νοῦν μου πολύαθλε, καὶ καλλιπάρθενε, ὅπως τηλαυγῶς, μάρτυς Ἀναστασία, ἐπαίνων τοῖς ἄνθεσι, στέψω τὴν μνήμην σου.

Η ἄσκησις ἔνθεος, ἡ δὲ σὴ ἄθλησις νόμιμος, τὸ τέλος μακάριον, Ἀναστασία σεμνή, σὺν ὁσίοις γάρ, σὺν μάρτυσιν ἐδέξω, χειρὶ τοῦ παντάνακτος, γέρα τῶν πόνων σου.

**Δόξα.**

Ναὸς πανυπέρτιμος, Πατρὸς Υἱοῦ τε καὶ Πνεύματος, ἐγένου πανάριστε, Ἀναστασία διό, πρὸς οὐράνιον, ναὸν εἰσοικισθεῖσα, ῥυσθῆναι με πρέσβευε, πάσης κακώσεως.

**Καὶ νῦν.**

Παρθένε πανάμωμε, μήτηρ τοῦ πάντα ποιήσαντος, παντοίας με θλίψεως, εὐσπλάγχνῳ ῥῦσαι ῥοπῇ, ὅπως ἐν χαρᾷ, τοῦ Γαβριὴλ τὸ χαῖρε, Μαρία κραυγάζω σοι, χαῖρε θεόνυμφε.

**Καταβασία.—Ἀνοίξω τὸ στόμα μου.**

Κανὼν τῆς Θεοτόκου.

**Ὠδὴ γ'.—Οὐρανίας ἁψῖδος.**

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε. (Δίς).

Ἱερᾶς πολιτείας, ἀποπεσὼν Ἄχραντε, παρασυνεβλήθην τοῖς κτήνεσι, καὶ κατάκριτος, ὅλος γεγένημαι, ἡ τὸν Κριτὴν τετοκυῖα, πάσης κατακρίσεως, ῥῦσαι καὶ σῶσόν με.

Στεναγμοὺς ἀνενδότους, καὶ ψυχικὸν δάκρυον, καὶ διηνεκῆ μοι παράσχου, κόρη κατάνυξιν, ὅπως πενθήσω μου, τὰ συμφυέντα μοι πάθη, ἐξ ἀπροσεξίας μου θεοχαρίτωτε.

Ἐπουράνιαι τάξεις, λειτουργικὰ πνεύματα, δῆμος προφητῶν Ἀποστόλων σου, καὶ μαρτύρων σου σὺν τῇ Τεκούσῃ σε, ἐκδυσωποῦσιν οἰκτίρμον, τῷ Λαῷ σου δωρῆσαι, πταισμάτων ἄφεσιν.

Συμπαθείας με θείας, ὡς συμπαθὴς Ἄχραντε, νῦν καταξιῶσαι δυσώπει, τὸν εὐσυμπάθητον, τρόπους ἀσπλάγχνους γάρ, ἀσυμπαθῶς κεκτημένος, μετανοίας τρόποις με, νῦν ἀνακάλεσαι.

Κανὼν τῆς Ἁγίας.—Σὺ εἶ τὸ στερέωμα.

Ἵστασο πρὸ βήματος, τυραννικοῦ Χριστὸν ἄνακτα, καὶ ποιητήν, πάντων καὶ Δεσπότην, Θεὸν Λόγον κηρύττουσα.

Κάλλος τὸ ἐγκάρδιον, τῇ ὁρατῇ μορφῇ ἔνδοξε, διαδοθέν, σὲ ὡραιοτάτην, τοῖς ὁρῶσιν ὑπέφανεν.



Ὄλβον ἀναφαίρετον, τῶν ἰαμάτων σοι δίδωσι, κόρη Χριστός, οὗ Ἀναστασία, τὴν πτωχείαν ἠγάπησας.

Ὕλην ἁμαρτίας μου, σῶν πρεσβειῶν πυρὶ σύμφλεξον, Μήτηρ Θεοῦ, δρόσον μοι τὴν θείαν, τῆς ἐφέσεως φέρουσα.

Ἄλλος.—Τοὺς σοὺς ὑμνολόγους.

Ὀνύχων ἐκρίζωσιν γενναίως, ἐνέγκασα μάρτυς τοῦ Χριστοῦ, τὸν ὄφιν κατεσπάραξας, Ἀναστασία πάντιμε, τὸν τὴν ἡμῶν προμήτορα τοῦ Παραδείσου ἐξώσαντα.

Λαμπρύνεται σήμερον ὁ κόσμος, ὁρῶν τοῖς ὡραίοις σου ποσίν, Ἀναστασία πάνσεμνε, τὸν δόλιον πατούμενον, καὶ ἐναποπνιγόμενον, τοῖς μυριπνόοις σου αἵμασιν.

Δόξα.

Ὑψίκομος μάρτυς ὥσπερ φοίνιξ, τοὺς κλάδους, ἐτμήθης τῆς σαρκός, τῷ πονηρῷ δικάζοντι, τὸ μέγεθος φυλάττουσα, τῆς πίστεως ἀμείωτον, Ἀναστασία πολύαθλε.

Καὶ νῦν.

Ἀνέκφραστον θαῦμα τῶν αἰώνων, ἀπείρανδρε Μήτηρ, τοῦ Χριστοῦ, τῆς αἰωνίου ῥῦσαί με, κολάσεως τὸν δοῦλόν σου, καὶ παραδείσου μέτοχον, ἀπέργασαι τῇ δυνάμει σου.

Καταβασία.—Τοὺς σοὺς Ὑμνολόγους.

Κάθισμα.=Τὸν Τάφον σου Σωτήρ.

Ἐκ βρέφους τῷ Θεῷ, ἀνετέθης ὁσία, νεκρώσασα σαρκός, ἐγκρατείᾳ τὰ πάθη, εἰς ὕψος ἀνέδραμες, Μαρτυρίου περίδοξον, ἐναθλήσασα, Ἀναστασία νομίμως. καὶ τὸν δράκοντα, καταβαλοῦσα, εἰς χάος, δυνάμει τοῦ Πνεύματος.

ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΑΔΕΙΟΣ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ

**Δόξα τὸ αὐτό.—Καὶ νῦν Θεοτοκίον.**

Τὴν βάτον ἣν Μωσῆς, ἀκατάφλεκτον εἶδε, τὸ ὄρος τοῦ Θεοῦ, τὴν Ἁγίαν νεφέλην, σκηνὴν τὴν ἀμόλυντον, τὴν θεόδεκτον τράπεζαν, τὸ παλάτιον, τοῦ ὑψηλοῦ βασιλέως, τὴν ὁλόφωτον, καὶ ἀδιόδευτον πύλην, παρθένον ὑμνοῦμεν σε.

**Ὠδὴ δ'.—Κανὼν τῆς Θεοτόκου.**

Σύ μου Χριστὲ Κύριος, Σύ μου καὶ δύναμις.

Σύ μου ἰσχύς, Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ Πατρικοὺς κόλπους, μὴ λιπών, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμενος διὸ σὺν τῷ Προφήτῃ Ἀββακοὺμ σοι κραυγάζω, Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τὸ πονηρόν, ἁμαρτιῶν μου χειρόγροφον, θεία λόγχῃ, πάναγνε διάῤῥηξον, τῇ κεντησάσῃ θείαν πλευράν, τοῦ ἐνανθρωπῆσαι, ἐκ σοῦ Παρθένε θελήσαντος, καὶ βίβλῳ με γραφῆναι, σωζομένων δυσώσει, τὸν ἀφρόνως Θεοῦ μακρυνόμενον. (Δίς).

Ἵνα φωναῖς, χαριστηρίοις δοξάζω σε, ἵνα θείῳ, πόθῳ μεγαλύνω σε, τὴν τῷ μεγίστῳ σου τοκετῷ, πάντας σμικρινθέντας, πανάμωμε μεγαλύνασαν, μεγάλως ἁμαρτῶντα, καὶ δεινῶς συμπτωθέντα, συγχωρήσεως κόρη ἀξίωσον,

Νόμοι ἐν σοί, κεκαινοτόμηνται φύσεως, ὑπὲρ φύσιν, Λόγον γὰρ ἐκύησας, διὸ σὲ πίστει ἐκδυσωπῶ, τὸν ὑπὲρ τὴν φύσιν, τὴν ἀνθρωπίνην πανάμωμε, πολλὰ ἡμαρτηκότα, καὶ Θεοῦ μακρυνθέντα, ἐπιστρέψαντα σῶσον πρεσβείαις σου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ὁ δυσμενής, τῆς ἁμαρτίας τοῖς βέλεσι, τὴν ψυχήν μου, ὅλην ἐτραυμάτισε, καὶ κατεμόλυνεν ἡδοναῖς, τὴν ἐμὴν καρδίαν, καὶ τῆς ὁδοῦ ἀπεπλάνησε, Παρθένε τῆς εὐθείας, διὰ τοῦτο βοῶσοι, ἐπιστρέφοντα δέξαι καὶ σῶσον με.

**Κανὼν τῆς Ἁγίας.—Εἰσακήκοα Κύριε.**

Σὲ ζυγὸν ἐλαφρότατον, μάρτυς τὴν βαστάσασαν ἐκ νεότητος, σιδηροῦν κλοιὸν προσφέρειν σε, οἱ παρανομοῦντες κατεδίκασαν.

Σταλαγμοὶ τῶν αἱμάτων σου, τῆς πολυθείας ἔσβεσαν ἄνθρακας, ὁπυρσὸς δὲ τῶν θαυμάτων σου, τῶν παθῶν τὴν ὕλην ἀπετέφρωσεν.

Οὐκ ἐγύμνωσε χάριτος, σῶμά σου γυμνώσας ὁ πονηρότατος, ὑφαντὸν δὲ μᾶλλον ἄνωθεν, ἀῤῥαγῆ χιτῶνα προξένει σοι.

Ὑπὲρ γῆν αἰρομένης σου, πῦρ ἐπὶ τὰ στέρνα, μάκαρ, ἐφήπτετο, ὑπεξάπτον σου τὸν ἔρωτα, τὸν πρὸς τὸν Δεσπότην καλλιπάρθενε.

**Θεοτοκίον.**

Μετὰ τόκον διέμεινας, ἄφθορος Παρθένε ὡς πρὸ γεννήσεως, νέον βρέφος γὰρ ἐκύησας, τὸν πρὸ τῶν αἰώνων γνωριζόμενον.

**Ἄλλος.—Τὴν ἀνεξιχνίαστον.**

Θάνατον οὐκ ἔπτηξε τὸν τῆς σαρκός, ἁπαλὴ νεᾶνις καὶ εὔοπτος, ἐπιποθοῦσα, τῷ Χριστῷ παμβασιλεῖ, τὴν ἑαυτῆς εὐπρεπείαν, παρατεθεικέναι δι' αἵματος.

Λύκος ὥσπερ ἄγριος ὁ δυσεβής, τὸ σὸν ἁγιώτατον κώδιον, κατασπαράξας, δι᾿ ὀνύχων σιδηρῶν, ἀποτεμεῖν οὐκ ἴσχυσε, σὲ τῆς τοῦ Χριστοῦ ἀγαπήσεως.

**Δόξα.**

Ὅλην σου τὴν ἔφεσιν πρὸς τὸν Θεόν, ἔχουσα ὁσία πολύαθλε, Ἀναστασία, τῶν ὀδόντων τὴν πικράν, ὑπέφερες ἐκρίζωσιν, δόξα τῷ Χριστῷ ἀνακράζουσα.

**Καὶ νῦν.**

Νικᾷ πᾶσαν δύναμιν λόγου παντός, τοῦ σοῦ μαρτυρίου τὸ μέγεθος, πῶς παρθενίᾳ, ὑπὲρ φύσιν τοκετόν, συνῆψας ὑπὲρ ἔννοιαν, Μήτηρ τοῦ Θεοῦ ὑπερένδοξε.

**Κανὼν τῆς Θεοτόκου.**

**Ὠδὴ ε΄.—Ἵνα τί με ἀπώσω.**

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον, ἀλλ᾿ ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι. (Δίς.)

Γενεαὶ γενεῶν σε, τὴν ἀειμακάριστον νῦν μακαρίζουσιν, οὐρανῶν Δυνάμεις, ὡς τὰ κάτω τοῖς ἄνω συνάψασαν εὐφημοῦσι μόνην, ἐν γυναιξὶν εὐλογημένη, τοῦ πεσόντος Ἀδὰμ ἡ Ἀνάκλησις. (Δίς).

Διαμένειν με σῶον, μὴ περιτρεπόμενον στάσεως κρείττονος, ἀλλ᾿ εὐθυποροῦντα, καὶ Θεῷ τὰ εὐάρεστα πράττοντα, ἐνδυνάμωσόν με, τὸν ἀγαθὸν τεκοῦσα Λόγον, τὸν ἡμᾶς ἀλογίας ῥυσάμενον.



Ὁ τὸ αἷμά σου Λόγε, διὰ ὑπερβάλλουσαν ἐλέους ἄβυσσον, ἐν σταυρῷ κενώσας, τῶν παθῶν μου τὴν ἄβυσσον ξήρανον, καὶ ἐν κατανύξει, σοὶ τῷ Θεῷ εὐαρεστῆσαι, διὰ τῆς Θεοτόκου ἀξίωσον.

**Κανὼν τῆς Ἁγίας.—Ὀρθρίζοντες βοῶμεν.**

Ἀνάλωτος πυρὶ τῷ ἐνύλῳ ἐδείχθης μάρτυς, πῦρ γάρ σε ἐγκάρδιον, θείας ἀγάπης ἐδρόσιζε.

Ῥαπίσματι τὸ πρόσωπον μάρτυς ὡραιωθεῖσα, ἐχθρῶν ἀπεῤῥύπωσας, δυσειδεστάτων τὰ πρόσωπα.

Ταθεῖσα ἐπὶ ξύλου θεόφρον Ἀναστασία, πόθῳ τοῦ νυμφίου σου, θεῖον πάθος εἰκόνιζες.

**Θεοτοκίον.**

Ὑμνοῦμέν σε πανύμνητε δέσποινα Θεοτόκε, Θεὸν ὑπερύμνητον, σαρκὶ ἀσπόρως κυήσασαν.

**Ἄλλος.—Ἐξέστη τὰ σύμπαντα.**

Ἀκράδαντον ἔχουσαν, τὴν πίστιν ὦ πολύαθλε, ἐκ τῆς εἰς Χριστὸν ὁμολογίας, τροχῷ μεγίστῳ, φέρων ἑλίττει δεινῶς, σὲ τὴν λογικὴν περιστεράν, ἄρχων ὁ φρενόληπτος μεταστῆσαι βουλόμενος.

Νικᾶται τοῖς λόγοις σου, δικάζων ὁ πανάθλιος, καὶ ἀμηχανήσας ἀνασπᾷ σου, τὴν θεολόγον γλῶτταν βιαίᾳ ὁλκῇ, σοῦ τὴν πανααοίδιμον ψυχήν, εὑρὼν ὁ παμμίαρος, στεῤῥοτέραν ἀδάμαντος.

**Δόξα.**

Ἀγγέλων τε γέγονας, καὶ τῶν ἀνθρώπων θέατρον, ἀπο—

στολικῶς Ἀναστασία, ἀποκοπεῖσα τοὺς μακαρίους μαστούς, χειρῶν στερουμένη καὶ ποδῶν, πάθος τὸ σωτήριον, ἑαυτῇ ἐγχαράξασα.

**Καὶ νῦν.**

Σὲ τεῖχος ἀπόρθητον, λιμένα καὶ προπύργιον, καὶ καταφυγὴν καὶ προστασίαν, ἔχω Παρθένε ἐν τοῖς κινδύνοις ἀεί, καὶ πρὸς τὸν Θεὸν καταλλαγήν, μὴ οὖν ἀποβάλῃς με, τῆς σῆς σκέπης Πανύμνητε.

Ἱλάσθητί μοι Σωτήρ· πολλαὶ γὰρ αἱ ἀνομίαι μου· καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι πρὸς σὲ γὰρ ἐβόησα· καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου. (Δίς).

**Ὠδὴ στ'.—Κανὼν τῆς Θεοτόκου.**

Ἠλέηται διὰ σοῦ, ἡ φύσις τῆς ἀνθρωπότητος, τὸν ἐλεήμονα γάρ, ἐκύησας Κύριον, ἐλεῆμον Πάναγνε, ὅθεν δυσωπῶ σε τὴν ἐμὴν ψυχὴν ἐλέησον.

Τῶν Ἀσωμάτων Χριστέ, τὰ τάγματα δυσωποῦσί σε, Μαρτύρων τε προφητῶν, καὶ τῶν Ἀποστόλων σου, διὰ τῆς Τεκούσης σε, τὸν Λαόν σου σῶζε, ἀπὸ πάσης περιστάσεως.

Ἡ ἀγεώργητος γῆ, τὸν Γεωργὸν ἡ κυήσασα, καὶ πάντων Δημιουργόν, τὴν ὑλομανήσασαν, ψυχήν μου τοῖς πάθεσι, δεῖξον καρποφόρον, διὰ θείας ἐπιγνώσεως.

Παρέβην τὰς ἐντολάς, τὰς πρὸς Θεὸν ὁδηγούσας με, καὶ θέλων τοῖς πονηροῖς, δεδούλωμαι πάθεσι, διὸ ἱκετεύω σε, τῆς αὐτῶν με ῥῦσαι, δεσποτείας ἀειπάρθενε.



**Τῆς Ἁγίας.—Χιτῶνά μοι παράσχου.**

Στρεβλούμενον τὸ σῶμα αἰκισμοῖς, ἐδήλου τὸ ὄρθιον, τῆς σῆς προαιρέσεως, πρὸς Θεὸν Ἀναστασία πανεύφημε.

Ἐκρέμασο μετέωρος πληγάς, μάρτυς ὑποφέρουσα καὶ ἄπληγον σώζουσα, τῆς ψυχῆς τὸ εὐγενὲς ἀξιάγαστε.

Ὑπέφερες μαζῶν τὴν ἐκκοπήν, πιστοὺς διατρέφουσα, τῷ γάλακτι ἔνδοξε, τῆς μιμήσεως τῆς σῆς ἐμφανέστατα.

**Θεοτοκίον.**

Φιλάνθρωπον κυήσασα Θεόν, φιλάγαθε Δέσποινα, αὐτὸν καθικέτευε, τῆς γεέννης τοῦ πυρὸς λυτρωθῆναί με.

**Ἄλλος.—Τὴν θείαν ταύτην.**

Τῆς Ῥώμης γέγονας ἔπαλξις, καὶ πρέσβυς πρὸς Θεὸν ἀκαταίσχυντος, τοῖς εὐφημοῦσί σε, ῥαπιζομένη τὸ πρόσωπον, Μάρτυς Ἀναστασία, καὶ θριαμβεύουσα.

Ἀναστασίαν τὴν πάντιμον, ἐν τέτταρσι παττάλοις τανύσαντες, δεινῶς ἐμάστιξαν, ἐπὶ πυρὸς οἱ παμμίαροι, πῦρ θεϊκῆς ἀγάπης, ἐν στέρνοις φέρουσαν.

**Δόξα.**

Σαπφείρου μᾶλλον ἐξήστραπτες, ὡς ῥὼξ πιεζομένη πανεύφημε, δι' ὃ κεκέρακας, οἶνον ἡμῖν κατανύξεως, τοῖς τὰ σεπτά σου πάθη, πίστει γεραίρουσι.

**Καὶ νῦν.**

Ἵνα λυτρώσῃ τὸν ἄνθρωπον, ἀρᾶς τῆς ἀρχεγόνου Πανά-

ΑΙΚΑΤΕΡΙΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΝΝΑΔΕΙΟΣ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ

χραντε, ἐκ σοῦ γεγέννηται, ἄνευ σπορᾶς ὁ ὑπέρθεος, δι᾽ ἄκραν εὐσπλαγχνίαν, ὡς ὑπεράγαθος.

**Καταβασία.—Τὴν θείαν ταύτην.**

**Κοντάκιον Ἦχος δ΄.—Ἐπεφάνης σήμερον.**

Ὥσπερ ἄλλου πάσχοντος, ἐγκαρτεροῦσα, τῶν μελῶν ἁγία σου, τὴν δριμυτάτην ἐκκοπήν, Ἀναστασία ἐκραύγαζες, σύ μοι ὑπάρχεις Χριστὲ τὸ κραταίωμα.

**Ὁ οἶκος.**

Γῆ καὶ σποδός, σαπρία καὶ σκώληξ ὑπάρχων, ἐμαυτὸν οἴμοι τοῖς ἀμέτροις κακοῖς κατηχρείωσα, πῶς λοιπὸν ἐξαγγεῖλαι δυνήσομαι, τὰ μεγάλα καὶ ἔνδοξα τρόπαια, ἅπερ Κόρη Παρθένος κατὰ τῶν ἀντιπάλων εἰργάσατο, ἐν σταδίῳ Θεοῦ τὰ παράδοξα, ἀπτοήτῳ καρδίᾳ κηρύττουσα; πάντως μέγα τοῦτο τὸ ἐγχείρημα, καὶ τοῖς δῆθεν σοφοῖς οὐκ ἀκίνδυνον, ἀλλὰ ταύτης τὴν μνήμην γηθόμενος, ἀνυμνήσω ῥωσθεὶς τὴν διάνοιαν, τοῖς ἀμέτροις αὐτοῖς προτερήμασι. Παρθένος γὰρ αὕτη περίδοξος, καὶ Ὁσία καὶ μάρτυς γνωρίζεται, Χριστῷ τῷ Θεῷ δ᾽ ἀνεκραύγαζε, σύ μου ὑπάρχεις Χριστὲ τὸ κραταίωμα.

Τῇ κθ΄. Ὀκτωβρίου μνήμη τῆς Ἁγίας Ἐνδόξου Ὁσιοπαρθενομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας.

Στίχος: Κάρας τομὴν ἤνεγκε ῥώμῃ καρδίας, βλάστημα Ῥώμης μάρτυς Ἀναστασία. τλῇ Ἀναστασίαν ἐννάτῃ ξίφος εἰκάδι ὀξύ.

Θεοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ, διὰ τοῦτο οἱ Παῖδες, ἐν τῇ καμίνῳ ἀγαλλομένῳ ποδί, ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν. (Δίς).



**Ὠδὴ ζ΄.—Κανὼν τῆς Θεοτόκου.**

Ἀρρήτῳ κυήσει σου, φρικτῶν ἀρρήτων ἡμᾶς ἠξίωσας, Θεοτόκε πραγμάτων, διὸ φρικτῆς με ῥῦσαι κολάσεως καὶ τῆς ἀρρήτου χαρᾶς καταξίωσον, ἵνα ὑμνῶ σὲ ἀεί, τὴν πολυΰμνητον.

Ῥαθύμως τὸν βίον μου, ἐκδαπανήσας ἄκαρπος ἔμεινα, καὶ πτοοῦμαι τὴν δίκην, καὶ τῆς γεέννης τὸ πῦρ τὸ ἄσβεστον, ἡ πῦρ τεκοῦσα Παρθένε τὸ ἄστεκτον, πρόστηθι ῥῦσαί με πυρὸς τῇ μεσιτείᾳ σου.

Θαυμάτων ἐπέκεινα, τὸ μέγα θαῦμα τῆς σῆς κυήσεως, διὰ τοῦτο βοῶ σοι, Ἁγνὴ Παρθένε θεογεννήτρια, τὰ σὰ ἐλέη ἐπ᾽ ἐμοὶ θαυμάστωσον, καὶ τῆς μελλούσης ὀργῆς ῥῦσαι καὶ σῶσόν με.

Ἐμὲ τὸν βιώσαντα, ἐν ἀμελείᾳ, καὶ παραβλέψαντα, τοὺς ἁγίους σου νόμους, καὶ τὰ σεπτά σου Σῶτερ ἐντάλματα, οἴκτειρον σῶσον διὰ τῆς τεκούσης σε, ὡς εὐεργέτης Θεὸς καὶ πολυέλεος.

**Κανὼν τῆς Ἁγίας.—Παῖδες Ἑβραίων.**

Ἦχος φωνῆς ἑορταζόντων, ἔνθα πέφυκε χορεύεις ἀθλοφόρε, σὺν παρθένων χοροῖς τῷ κτίστῃ μελῳδοῦσα, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Μέλη συνθλώμενα ὁρῶσα, καὶ ὀνύχων σπαραγμῶν προσκαρτεροῦσα, ἀνηνέχθης Χριστῷ θυσία μελῳδοῦσα, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὤφθης ὡς ἄμπελος θεόφρον, χεῖρας πόδας τε ὡς κλά-

δους τεμνομένη, καὶ ἡμῖν νοητὸν τὸν οἶνον γεωργοῦσα, καρδίας τὸν εὐφραίνοντα, νοητῶς Ἀναστασία.

**Θεοτοκίον.**

Ὅλον τὸν ἄνθρωπον φορέσας, ὁ ὑπέρθεος, δίχα τῆς ἁμαρτίας, ἐκ γαστρός σου Ἁγνὴ προῆλθε σαρκοφόρος ὃν ἐκδυσώπει πίστει σε, τοὺς τιμῶντας διασῶσαι.

**Ἄλλος.—Οὐκ ἐλάτρευσαν.**

Ἄνω ἔχουσα τὸν νοῦν καὶ τὴν διάνοιαν, τὰ κάτω ἔφερες, παμμάκαρ ὀδυνηρά, στέρνων τὴν κατάφλεξιν, γλώττης ἀφαίρεσιν, καὶ ἀνέκραζες Ἁγία τῷ Δεσπότῃ σου, ὁ Θεὸς εὐλογητὸς εἶ.

Νεύσει κρείττονος λιποθυμούσῃ δέδωκεν, ὁ θεῖος Κύριλλος, ὕδωρ ψυχρότατόν σοι, καὶ πανευλαβέστατος, Ἀναστασία διό, πρὸς ἀντάμειψιν, μαρτυρικὸν διάδημα, ἐκ Θεοῦ σὺν σοὶ λαμβάνει.

**Δόξα.**

Ἔχει Ῥώμη μὲν χαράκωμα στεῤῥότατον, ἐνεγκαμένη σε, καὶ ἄμυναν κατ᾽ ἐχθρῶν, τοῦ ὁσιωτάτου δέ, σοὶ Γρηγορίου Μονή, ἐπαγάλλεται, ἐκ τῶν σεπτῶν λειψάνων σου, ἔχουσα Ἀναστασία.

**Καὶ νῦν.**

Βόθρῳ πέπτωκα ποικίλων παραπτώσεων, ἐπικαλοῦμαί σε, ἔκτεινον χεῖρα κἀμοί, καὶ σῶσόν με Πάναγνε, καθάπερ σέσωκεν, ὡς φιλάνθρωπος, ὁ σὸς υἱὸς τὸν ἄσωτον, πόρνην τε καὶ τὸν τελώνην.



**Καταβασία.—Οὐκ ἐλάτρευσαν.**

**Ὠδὴ η'.—Κανὼν τῆς Θεοτόκου. — Ἑπταπλασίως κάμινον.**

Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων ὁ τύραννος, τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε· δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τὸν Δημιουργόν, καὶ Λυτρωτὴν ἀνεβόα, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. (Δίς.)

Νενεκρωμένην ζώωσιν, συμπτωθεῖσαν ἀνάστησον, τετραυματισμένην, τὴν ψυχήν μου ἴασαι, τὸν νοῦν μου εἰρήνευσον, τῶν πειρασμῶν τὰ κύματα, πράϋνον Παρθένε, καὶ βοῶντά με σῶσον, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. (Δίς).

Ὡς ὁ λῃστὴς κραυγάζω σοι, μνήσθητί μου φιλάνθρωπε, κλαίω ὡς ἡ πόρνη, καὶ βοῶ σοι ἥμαρτον, ὡς πάλαι ὁ ἄσωτος, μετανοοῦντα δέξαι με, τὸν ἀπεγνωσμένον, διὰ τῆς Θεοτόκου, προθύμως ἵνα μέλπω, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἱκετικῶς βοῶμέν σοι, Θεοτόκε πανύμνητε, μετὰ τῶν ἀπείρων, νοερῶν δυνάμεων, Μαρτύρων ὁσίων τε, καὶ Ἀποστόλων καὶ Προφητῶν, ποίησον πρεσβείαν, ὑπὲρ πάντων τῶν πίστει, ἐνθέως μελῳδούντων, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Κανὼν τῆς Ἁγίας.— Ὅμοιον.**

Νεανικῶς ἠρίστευσας, ἀθλοφόρε πανεύφημε, καὶ κατὰ τῆς πλάνης, ἀνεστήσω τρόπαια, χειρῶν στερουμένη γάρ, καὶ τῶν ποδῶν ὑπέφερες, καὶ τὴν τῶν μαστῶν καὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τῶν ὀδόντων σου μάρτυς, ἐκρίζωσιν ἠνέσχου, ἐν χαρᾷ μελῳδοῦσα, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁλολαμπὴς ὡς ἥλιος, Παρθενίας λαμπρότησι, καὶ τῆς μυρτυρίας καλλοναῖς ἐξήστραψας, καὶ κόσμον ἐφώτισας, ταῖς φωτοβόλοις λάμψεσί σου, Ἀναστασία, τῆς πολλῆς καρτερίας, προθύμως ἐκβοῶσα, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑλομανοῦσαν πάθεσι, τὴν ψυχήν μου Θεόνυμφε, καὶ ἀμαυρουμένην, προσβολαῖς τοῦ ὄφεως, ταῖς σαῖς παρακλήσεσιν, ἐκ τῶν δεινῶν καθάρισον, καὶ φωτιστικῇ ἐπισκιάσει σου μάρτυς, σεμνὴ Ἀναστασία, καταξίωσον ψάλλειν, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Σὲ τὴν Ἁγνὴν καὶ ἄμωμον, ἡ Παρθένος ποθήσασα, ἄμωμον καὶ σῶμα, καὶ ψυχὴν ἐτήρησε, παθῶν ὑπεκκαύματα, ὑπομονῇ τεφρώσασα, πεῖραν τε πολλῶν ὑπενεγκοῦσα βασάνων, καὶ νῦν ἐπουρανίοις, ἐν θαλάμοις χορεύει, σύν σοί, εὐφραινομένη, εἰς πάντας τοὺς αἰῶνας.

**Ἄλλος.— Παῖδες εὐαγεῖς.**

Ὡς πάλαι τοὺς παῖδας ἐν καμίνῳ, καὶ σὲ καταπελτουμένην οὐ παρέβλεψε, νεύρων μὲν τὴν ἔκτασιν, ὀστῶν δὲ τὴν σύνθλασιν, καὶ τῶν μελῶν ἁγίαν σου δεινὴν ἐξάρθρωσιν, ἰώμενος ὁ Πλάστης τῶν ὅλων, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Αἶνον τῷ Θεῷ δακρυρροοῦσα, ἀνέπεμπεν ἐκ ψυχῆς περιτυχοῦσά σου, τὸ καρτερικώτατον, σῶμα καὶ πανεύο-



σμον, ἡ σὴ καλὴ διδάσκαλος, Σοφία μήτηρ σου, καὶ τοῦτο εὐλαβῶς προσκυνοῦσα, ἤνεγκεν ἐν Ῥώμῃ πολλῶν εἰς σωτηρίαν.

**Δόξα.**

Γέρα τῶν σεπτῶν σου παθημάτων, ἐδέξω παρὰ Θεοῦ μάρτυς ἀντάξια, πάθη τε καὶ νόσους γάρ, ἐναποδιώκουσα, ἀποσοβεῖς τοὺς δαίμονας, καὶ πάσης ἄλλης πληγῆς, λυτροῦσαι τοὺς πιστῶς προσκυνοῦντας, σοῦ τὴν τῶν λειψάνων ὑπέρτιμον σωρείαν.

**Καὶ νῦν.**

Ἅπαντα ποιεῖν με Θεοτόκε, ἀξίωσον τοῦ Υἱοῦ σου τὰ ἐντάλματα καὶ τῆς χαμαιζήλου με βιοτῆς ἐξάρπασον, καὶ τῆς ψυχῆς τὴν πώρωσιν μακρὰν ἀπέλασον, τοῦ σοῦ δούλου, ἵνα μεγαλύνω σε, καθαρᾷ διανοίᾳ γηθόμενος.

**Καταβασία. — Παῖδας εὐαγεῖς.**

**Ὠδὴ θ'.—Κανὼν τῆς Θεοτόκου.**

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεός, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν οὐρανῶν· διό σε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσιν. (Δίς).

Ὦ θεία Κλίνη Σολομών, ἣν κυκλοῦσι δυνατοὶ νῦν ἑξήκοντα, ῥήσεις τῆς θείας Γραφῆς, ἐν ᾗ ὁ Λόγος ἐπανεπαύσατο, ταῖς μυριάσι με ἀεί, δαιμόνων κλονούμενον, ἄτρωτον φύλαξον τῇ δυνάμει σου. Ἁγνὴ ἀειπάρθενε.

Στάζουσα θεῖον γλυκασμόν, τῶν ἁπάντων γλυκασμὸν ἡ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΓΙΑΝΝΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κυήσασα, ἰῷ τοῦ ὄφεως, τὴν φαρμαχθεῖσαν ψυχήν μου γλύκανον, ἀλλοτριοῦσα με πικρᾶς, ἁμαρτίας πάντοτε, τῇ μεσιτείᾳ σου, προστασία, τῶν πιστῶν ἀκαταίσχυντε.

Ἥλιε δόξης Ἰησοῦ, τὴν ἀθλίαν μου ψυχὴν φωταγώγησον, καὶ παρακλήσεσι, τῆς σὲ τεκούσης Ἁγνῆς Θεόπαιδος, τῶν ἀσωμάτων Λειτουργῶν, σεπτῶν Ἀποστόλων σου, Ἱεραρχῶν, Προφητῶν, καὶ Μαρτύρων εὐκλεῶν καὶ Ὁσίων σου.

Φρίττω σου μόνε βασιλεῦ, τὴν δευτέραν παρουσίαν καὶ δέδοικα, ὅλος κατάκριτος, ἠπορημένος ὑπάρχων Κύριε, διὸ πρὸ τέλους σοὶ βοῶ, διὰ τῆς τεκούσης σε, φεῖσαι καὶ σῶσόν με, ἐλεῆμον ἀγαθὲ καὶ φιλάνθρωπε.

**Κανὼν τῆς Ἁγίας.— Ἐξέστη ἐπὶ τούτῳ.**

Ἰκρίῳ ἀνηρτήθης Λόγου Θεοῦ, εἰκονίζουσα πάθος σωτήριον, καὶ ἐκκοπήν, ἤνεγκας χειρῶν σου καὶ τῶν ποδῶν, ὀδόντων τὴν ἐκρίζωσιν, γλώσσης τὴν ἀφαίρεσιν καὶ μαστῶν, Ἁγνὴ Ἀναστασία, μοναζουσῶν τὸ κλέος, καὶ τῶν μαρτύρων ἐγκαλλώπισμα.

Ὡς νύμφη ὡραιώθης καλλοποιῷ, ἁρμοσθεῖσα νυμφίῳ παθήμασι καλλοποιοῖς, ἔνδον τε θαλάμων φωτοειδῶν, ὡς ἐκλεκτὴ ἐσκήνωσας, φέρουσα λαμπάδα παρθενικήν, καὶ νῦν συμβασιλεύεις, τῷ ζῶντι εἰς αἰῶνας, Ἀναστασία διαλάμπουσα.

Σταλάζουσιν οἱ πόνοι σου γλυκασμόν, ἁμαρτίας πικρίαν ἐξαίροντες, ἡ δὲ σορός, βρύει ἰαμάτων τοὺς ποταμούς, καὶ κατακλύζει πάντοτε, πάθη καὶ νοσήματα χαλεπά, εἰς



δόξαν τοῦ Σωτῆρος, Σεμνὴ Ἀναστασία, τοῦ ἐπαξίως σε δοξάσαντος.

**Θεοτοκίον.**

Φορέσαντά σε σάρκα ἐκ γυναικός, ὡς ἐπέγνω ἡ μάρτυς σου Κύριε, Παρθενικαῖς, κατηγλαϊσμένη μαρμαρυγαῖς, καὶ μαρτυρίου αἵματι, περιηνθισμένη σοὶ τῷ Χριστῷ, ὀπίσω τῆς μητρός σου, ἐνδόξως προσηνέχθη, ὡς βασιλεύοντι τῆς κτίσεως.

**Ἄλλος.— Ἅπας γηγενής.**

Πάντα τὰ τερπνά, τοῦ βίου τε πρόσκαιρα καταφρονήσασα, σεαυτὴν ἐκάθηρας, παθῶν Ἁγία, πόνοις ἀσκήσεως, ἐφέσει παθημάτων δέ, Χριστοῦ μιμήσεως, μαρτυρίου στέφανον ἀπείληφας, καὶ τῆς ἄνω λαμπρότητος ἔτυχες.

Ἵνα τῆς ζωῆς, μεθέξῃς τῆς κρείττονος, σαρκὸς ἠλόγησας, ἄϋλος καθάπερ δέ, περικαρεῖσα τὰ μέλη ἔκεισο, ξοάνοις σέβας ἥκιστα, Κόρη προσνείμασα, χαρμοσύνως τῷ Χριστῷ νενύμφευσαι, θεωθεῖσα τομῇ τῇ τῆς κάρας σου.

**Δόξα.**

Ὄλβον ἀρετῶν, ἀσκήσεως τρόπαια, Παρθένε φέρουσα, τρίβον τῆς ἀθλήσεως, διὰ βασάνων πολλῶν διήνυσας, Ἀναστασία Πάντιμε ἡμῶν μνημόνευε τοῦ Δεσπότου νύμφη χρηματίσασα, καὶ Δαιμόνων τὰ θράση νικήσασα.

**Καὶ νῦν.**

Ὑπὸ τὴν πολλήν, Παρθένε Πανάμωμε, Δέσποινα σκέπην σου, καταφεύγω ῥῦσαι με, πολλῶν σκανδάλων τοῦ πολεμήτορος, οἷαπερ πάντων σέσωκας, τοὺς προσκυνήσαντας,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

σὲ καὶ κυρίως Θεοτόκον Πάναγνε καὶ ψυχῇ καὶ καρδίᾳ κηρύξαντας.

**Καταβασία—Ἅπας γηγενὴς**

**Ἐξαποστειλάριον—Ὁ οὐρανὸν τοῖς ἄστροις.**

Μοναζουσῶν τὸ κλέος, καὶ ὡραιότης μαρτύρων, Ἀναστασία σὺ ὤφθης, ἐν παρθενίᾳ ἀσκοῦσα, καὶ καρτερῶς ἐναθλοῦσα, ὑπὲρ Χριστοῦ τῆς ἀγάπης.

**Ἕτερον.—Γυναῖκες ἀκουτίσθητε.**

Παρέστης ὡς βασίλισσα, ἠγλαϊσμένη χαίρουσα, ἐκ δεξιῶν τοῦ Σωτῆρος Ἀναστασία φοροῦσα στέφανον τριπλοσύνθετον, ἀρετοποικιλόπλεκτον, σῇ κορυφῇ πανεύφημε, ὡς μάρτυς τε καὶ Ὁσία καὶ μακαρία Παρθένος.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾧ πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσεν, καὶ Πνεῦμα τὸ πανάγιον ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Στιχηρὰ προσόμοια.

**Ἦχος δ'.—Ὡς γενναῖον ἐν μάρτυσι.**

Πρὸς ἐπίπονα σκάμματα, πρὸς ἀνδρεῖα παλαίσματα, πρὸς ποινὰς πρὸς μάστιγας, ἐκαρτέρησας, πρὸς ἐκτομὴν τὴν τῆς γλώσσης σου, μαστῶν πρὸς ἀφαίρεσιν, καὶ ἐκρίζωσιν βαβαί, τῶν ἁγίων ὀδόντων τε, καὶ ὀνύχων σου, ὥσπερ πάσχοντος ἄλλου μακαρία, ἐν Χριστῷ Ἀναστασία, αἰκιαζομένη διέκεισο. (Δίς).



Οὐρανὸς τὸ περίβλεπτον, ἔχει πνεῦμά σου πάνσεμνε, σὺν Ἀγγέλων τάγμασιν εὐφραινόμενον, ἡ δὲ γῆ χαίρει χορεύουσα, τὸ Ἅγιον σῶμά σου, καθορῶσα τηλαυγῶς, ἀνεκλάλητα θαύματα ἐργαζόμενον ἐν τῇ μάνδρᾳ τοῦ θείου Γρηγορίου, ἔνθα κεῖται εὐωδίας, ἀναπιμπλοῦν τὴν ὑφήλιον.

Ἐν χαρᾷ νῦν προσέλθετε, καὶ καρδίας εὐθύτητι, καὶ ὀρθῷ φρονήματι ἀσπαζόμενοι, τὰ χαριτόβρυτα λείψανα, καὶ ὄντως ὑπέρτιμα, τῆς ἀμνάδος τοῦ Χριστοῦ, τὰς ψυχὰς φωτιζόμενοι, καὶ πληρούμενοι, θυμηδίας καὶ πάσης καχεξίας,ι καὶ ποικίλων παθημάτων, αὐτῆς πρεσβείαις λυτρούμενοι.

**Δόξα ἦχος δ'.**

Ματαίως ἤλπισεν ὁ ἔχθιστος ἡγεμών, τῆς ἀγάπης Χριστοῦ σε χωρίσαι, ἠγνόει γὰρ ὁ παράφρων, τὴν διὰ Πνεύματος πρὸς Θεόν, ἀδιάσπαστον συνάφειαν, τῆς σῆς ψυχῆς Ἀναστασία διόπερ ἀνέσπα, ἀπέτεμνε, μετεώρει, κατέφλεγε, μαστίζων τε κατέξαινε, καὶ γυμνῶν ἐθεάτριζε, τὰς καὶ τοῖς Ἀγγέλοις παναιδεσίμους σου σάρκας, ταῖς πρὸ βασάνων θωπείαις ἀπολειόμενος. Ἀλλ' αὐτὸς μὲν ἑαυτῷ ἐπεσώρευσε τὴν ἄσβεστον φλόγα, σὲ δὲ ὑπερύψωσε, καὶ δόξῃ κατέστεψε, καὶ βασιλείας ἠξίωσε δι' ὧν εἰς σὲ ὁ ἄνους εἰργάσατο, καίτοι μὴ βουλόμενος, ἀμβλυωπῶν ὁ πανάθλιος, πρὸς τὴν τῆς ἀληθείας κατάληψιν, ἀλλὰ πρέσβευε τῷ σῷ νυμφίῳ Χριστῷ, σωθῆναι τοὺς ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν.—Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλο-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

γημένη Θεοτόκε. ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δοξολογία καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν ἡ γ'. καὶ ϛ'. ᾠδαί.

Ἀπόστολον ζήτει τῇ ια'. Κυριακῇ. Ἀδελφοὶ ἡ σφραγίς τῆς ἐμῆς ἀποστολῆς.

Τὸ δὲ Εὐαγγέλιον Σεπτεμβρίου ιϛ'. κ.τ.λ.

**Καὶ νῦν.**

Σωτήριος γενοῦ μοι πύργος Ἁγνή, τῶν δαιμόνων ἀπείρων τὰς φάλαγγας, καὶ πειρασμῶν, ὄχλον καὶ κινδύνων ἀποσοβῶν, καὶ τῶν παθῶν τὴν ἔφοδον, πόῤῥω ἀπελαύνων, καὶ καθαρὰν διδοὺς ἐλευθερίαν, καὶ θείων χαρισμάτων, τὴν ἀφθονίαν παρεχόμενος.

**Καταβασία—Ἅπας γηγενὴς**

Ἐξαποστειλάριον

**Ἀναστάσιμον.**

Ὅτι Χριστὸς ἐγήγερται, μήτις διαπιστείτω· ἐφάνη τῇ Μαρίᾳ γάρ· ἔπειτα καθωράθη, τοῖς εἰς ἀγρὸν ἀπιοῦσι Μύσταις δὲ πάλιν ὤφθη, ἀνακειμένοις ἕνδεκα, οὓς βαπτίζειν ἐκπέμψας, εἰς οὐρανούς, ὅθεν καταβέβηκεν ἀνελήφθη, ἐπικυρῶν τὸ κήρυγμα, πλήθεσι τῶν σημείων.

**Καὶ τοῦ ἁγίου Γρηγορίου.—Γυναῖκες ἀκουτίσθητε.**

Γρηγόριον τιμήσωμεν, τὸν Ἱερὸν φιλέορτοι τὸν ἐν τῷ Ὄρει τοῦ Ἄθω, ἀνύσαντα, τοὺς ἀγῶνας καὶ πρὸς αὐτὸν βοήσωμεν, χαίροις ὁσίων σέμνωμα, ἡμῶν δὲ μέγα καύχημα, τὸν τὴν Μονήν σου οἰκούντων, καὶ σὲ ἀπαύστως τιμώντων.

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΛΟΓΟΣ

## ΕΠΙΜΝΗΜΟΣΥΝΟΣ ΚΑΙ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ

ΠΡΟΣ ΤΟΥΣ

## ΜΕΓΑΛΟΥΣ ΚΤΙΤΟΡΑΣ

## ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

## ΤΗΣ ΕΝ ΑΓΙΩ ΟΡΕΙ ΑΘΩ

*«Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.»*

*(Ψαλμ. Δαυὶδ κστ.'—36.)*

Καὶ

*«Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου ἵνα εὖ σοι γένηται καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἣν Κύριος ὁ Θεός σου δέδωκέ σοι».*

*(Ἔξοδος κ.'—12).*

ΤΟΙΑΥΤΑ μεγάλα καὶ σοφὰ παραγγέλματα καὶ διδάγματα, ἀγαπητοὶ Ἀδελφοί, ὅσα ἀναγινώσκομεν ἐν ταῖς ἱεραῖς τῆς Ἐκκλησίας ἡμῶν Βίβλοις. Καὶ ὄντως τίς ν' ἀρνηθῇ δύναται ὅτι ἐπιβεβλημένη εἰς τοὺς γονεῖς τυγχάνει ἡ ὑποχρέωσις ὅπως οὗτοι δίκαιοι ἐνώπιον τοῦ Θεοῦ παραστῶσιν, ἵνα οὐ μόνον τῆς τῶν οὐρανῶν Βασιλείας αὐτοὶ κληρονόμοι καταστῶσιν, ἀλλ' ἵνα καὶ τὸ σπέρμα αὐτῶν, οἱ υἱοὶ δηλονότι αὐτῶν καὶ οἱ κληρονόμοι αὐτῶν εὐλογηθῶσιν ὑπὸ τοῦ Θεοῦ καὶ μὴ ζητῶσιν ἄρτους; Καὶ τίς ν' ἀρνηθῇ ἐπίσης δύναται ὅτι ἱερωτάτη προβάλλει ἀφ' ἑτέρου καὶ τῶν τέκνων ἡ ὑποχρέωσις ὅπως τιμῶσι τοὺς ἑαυτῶν γονεῖς; «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς». Ἱερὰ ἀληθῶς καὶ μεγάλη παραγγελία, ὅσον μέγας ἐστὶν ὁ δοὺς αὐτὴν Κύριος Σαβαώθ.

Καὶ ἡμεῖς, Ἀδελφοί, οἱ ἀπαρνηθέντες τοὺς κατὰ σάρκα γονεῖς ἡμῶν χάριν τοῦ εἰπόντος: «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος». (Ματθ. ε.'-37). Ἡμεῖς οἱ εἰς τὴν γῆν ταύτην τὴν ἀγαθήν, εἰς τὸ παραδείσιον αὐτὸ «πε-

*Ἐκφωνηθεὶς ἐν τῷ Ἱερῷ τῆς Μονῆς Ναῷ ὑπὸ τοῦ Γέροντος* **ΒΑΡΛΑΑΜ** *τοῦ Γρηγοριάτου τὴν 7 Δεκεμβρίου τοῦ ἔτους 1916, ἐτησίαν ἑορτὴν τῶν κτιτόρων τῆς Μονῆς.*

ριβόλι», τῆς τοῦ Θεοῦ μητρός, ὑπὸ ἀκατανικήτου τινὸς μυστηριώδους καὶ ἀοράτου δυνάμεως ὁδηγηθέντες ἄνευ γονέων πλέον μένομεν; Ὄχι. Εὕρομεν ἐδῶ ἐλθόντες καὶ ἔχομεν ἐδῶ μένοντες τοὺς πνευματικοὺς ἡμῶν γονεῖς τοὺς ἀγαπῶντας ἡμᾶς ὡς γνήσια αὐτῶν τέκνα, τοὺς μοχθήσαντας καὶ μοχθοῦντας δι' ἡμᾶς, ἀλλ' ὅπερ σπουδαιότερον τοὺς καὶ πρεσβεύοντας ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν καὶ Πλάστην καὶ Πατέρα ἡμῶν τὸν ἐπουράνιον.

Ἀλλὰ καὶ δικαίων γονέων καὶ προπατόρων ἔχομεν τὸ εὐτύχημα νὰ εἴμεθα ἡμεῖς τέκνα καὶ διάδοχοι. Καὶ κατὰ πόσον ἐκεῖνοι δίκαιοι ἦσαν, ἵνα κατὰ τὸν προφητάνακτα μὴ παρὰ Κυρίου ἐγκαταλειφθῶσι, καὶ ἡμεῖς τὰ τέκνα αὐτῶν μὴ ζητῶμεν ἄρτους, μαρτυρεῖ ὁ βίος αὐτῶν, μαρτυροῦσιν οἱ αἰῶνες οἱ τὴν μνήμην αὐτῶν ἀγήρω διατηρήσαντες, μαρτυροῦσι τὰ διὰ μέσου καὶ αὐτοῦ τοῦ πανδαμάτορος χρόνου περισωθέντα προαιώνια ἔγγραφα, μαρτυρεῖ τέλος ἡ εὐημερία ἡμῶν ἐν ἀφθονίᾳ εὐλογημένῃ τῶν πάντων, ὥστε ὄχι μόνον ἄρτους νὰ μὴ ζητῶμεν, ἀλλὰ πανευτυχεῖς πλουσίως νὰ ζῶμεν, καὶ τὸν πλησίον ἡμῶν νὰ δυνάμεθα νὰ βοηθῶμεν.

Εὐγνώμονα, ὅθεν, ἂς στρέψωμεν, ἀδελφοί, τὴν καρδίαν ἡμῶν πρὸς τοὺς πνευματικοὺς ἡμῶν πατέρας.

Ἔλθετε, ὅμως, ἴδωμεν τίνες εἰσὶν οἱ πνευματικοὶ ἡμῶν πατέρες, καὶ προπάτορες ἡμῶν; Τίνες δηλονότι οἱ πρώτιστοι τῆς Ἱερᾶς ἡμῶν ταύτης Μετανοίας κτίτορες, καὶ τίνες οἱ ἔκτοτε μέχρι τῶν ἡμερῶν ἡμῶν διὰ μέσου τόσων αἰώνων, καὶ τόσων βιωτικῶν τρικυμιῶν, τὰς τύχας τῆς Ἱερᾶς ἡμῶν Μετανοίας ἰθύναντες; Τίνες οἱ ἐκ τῶν ἐπανειλημμένων καταστροφῶν, δηώσεων, πυρκαϊῶν, περισώσαντες Αὐτήν, ἀνακαινίζοντες καὶ ἐπαυξάνοντες ταύτην, τίνες εἰσιν ἅπαντες ἐκεῖνοι οἱ μεγάλοι καὶ ἱεροὶ ἡμῶν προπάτορες καὶ πατέρες ὧν τὴν μνήμην ἑορτάζομεν σήμερον καθιερώσαντες τὴν ἐτησίαν ταύτην μνημόσυνον ἑορτὴν τῶν Κτιτόρων;

Ἀκούσατε ἀδελφοί.

Ὁ Ἱερὸς Νικόδημος ὁ τὴν τῶν Ἁγιορειτῶν Ἁγίων ἀκολουθίαν πάνυ καλῶς μελοποιήσας, καὶ μετὰ πολλῆς τῆς χάριτος ἕνα ἕκαστον Ἅγιον ἐγκωμιάσας, ἑνὸς καὶ μόνον Ἁγίου ἐκ τῆς Ἱερᾶς ἡμῶν Μονῆς ποιεῖται μνείαν· τοῦ Ἁγίου Γρηγορίου τοῦ ἀπὸ Συριάνων· καὶ τοῦτο διότι ὅταν οὗτος τὰς ἑαυτοῦ μελέτας ἀνὰ τὰς Ἱερὰς Μονὰς ἐποιεῖτο, ἡ Ἱερὰ ἡμῶν Μονὴ εὑρίσκετο, ὡς ἐκ τῆς ἐν ἔτει σωτηρίῳ 1761 ἐπισυμβάσης καταστρεπτικῆς τῶν πάντων πυρκαϊᾶς εἰς τοιαύτην ἀνέχειαν καὶ ἀταξίαν(¹) ὥστε τὰς ἀκολουθίας καὶ ἀγρυπνίας οἱ μετὰ τὴν πυρκαϊὰν ἐναπομείναντες ἐν τῇ Ἱερᾷ Μονῇ Πατέρες, ἀνεγίνωσκον ἐξ ἑνὸς μόνου Ψαλτηρίου, καὶ μὲ τὸ κομβοσχοίνιον, ἐλλείψει ἄλλων ἐκκλησιαστικῶν βιβλίων καταστραφέντων ὑπὸ τῆς μεγάλης ἐκείνης πυρκαϊᾶς.

Ὁ δὲ συντάξας τὴν ἤδη ὑπάρχουσαν ἀκολουθίαν τοῦ Ἁγίου Γρηγορίου, περὶ τὰ 1830, λογιώτατος Γέρων Γρηγόριος ὁ Βυζάντιος, μὴ δυνηθεὶς ὡς ἐκ τῶν ὑστέρων ἀποδεικνύεται νὰ ἀνεύρῃ τὰ ἤδη ἀνευρεθέντα χειρόγραφα, καὶ οὗ-

(¹) ***Τοῦτο προσεπιμαρτυρεῖ καὶ ὁ τότε ἀκμάζων ἐν τῇ Νέᾳ Σκήτῃ Πνευματικὸς Παπᾶ Προκόπιος σύγχρονος τοῦ Νικοδήμου, ὅστις ἀναφέρεται καὶ ἐν τῷ βίῳ τοῦ νέου Ὁσιομάρτυρος Ἰγνατίου.***



τος περὶ ἑνὸς καὶ μόνον Ἁγίου Γρηγορίου ποιεῖται μνείαν, τοῦ Ἁγίου Γρηγορίου τοῦ ἀπὸ τοῦ γένους Συριάνων, ὅπερ βραδύτερον, ἄδηλον πῶς, μετεποιήθη εἰς Σερβίαν, καὶ οὕτως ἐσφαλμένως παρίσταται ὡς ἀπὸ Σερβίας δῆθεν καταγόμενος.

Ἐὰν ὅμως ἀναγνώσῃ τις τὸ ὑπ' ἀριθ. 34 χειρόγραφον ὅπερ σώζεται ἐν τῇ βιβλιοθήκῃ τῆς Μονῆς, πείθεται, ὅτι ὁ πρώτιστος κτίτωρ τῆς Ἱερᾶς ἡμῶν Μονῆς εἶναι ὁ Ἅγιος Γρηγόριος ὁ Σιναΐτης. Περὶ τούτου ἐν τῇ 26ῃ σελίδι τοῦ ὡς εἴρηται χειρογράφου βλέπομεν τὰ ἑξῆς :

—«*Περὶ τοῦ πρώτου κτίτορος Ἁγίου Γρηγορίου, οὐδὲν ὑπόμνημα ἔχομεν, διότι ἡ Μονὴ εἶχε πυρποληθῇ, εἶναι ὅμως πασίδηλον ὅτι αἱ τρεῖς Μοναὶ Διονυσίου, Σίμωνος Πέτρας καὶ Γρηγορίου συγχρόνως ἐκτίσθησαν . . . . Ὅτε δὲ ὁ Ἅγιος Σίμων καὶ ὁ Ἅγιος Διονύσιος διὰ τοῦ οὐρανίου σημείου ἀστέρος καὶ τοῦ θείου φωτός, ἤρξαντο οἰκοδομεῖν τὰς δύο Μονάς, τότε συγχρόνως καὶ ὁ Ἅγιος Γρηγόριος ὁ Σιναΐτης ἐλθὼν ἡσύχασεν εἰς τὸ σπήλαιον τὸ φαινόμενον εἰς τὸ ἄνωθεν τῆς Μονῆς κελλίον τῆς Κοιμήσεως τῆς Θεοτόκου· καὶ ἦλθον πρὸς αὐτὸν καὶ μαθηταὶ ἐνασκούμενοι. Εἶτα ὁ Ἅγιος Γρηγόριος θεόθεν κινηθεὶς ἠθέλησεν ἀπελθεῖν εἰς Βουλγαρίαν καὶ Σερβίαν φωτίσαι καὶ διδάξαι τοὺς ἐκεῖ Χριστιανούς. Ἠκολούθει δὲ αὐτῷ καὶ εἷς μαθητής του, καὶ ἐλθόντες εἰς τὸ μέρος τῆς Βόγλας, ἐξελθεῖν τοῦ ὄρους, ὁ μαθητής του ἦλθεν εἰς ἔκστασιν, καὶ εἶδε τὸ ὄρος ὅλον περιτετειχισμένον μὲ «κάστρον» καὶ πύργους θαυμασίους, καὶ ἐξεστηκὼς ἤκουσε φωνὴν τῆς Θεοτόκου ἐπιτασσούσης νὰ μὴ ἐξέλθῃ τοῦ Ἁγίου Ὄρους, ὡς φυλαττομένου τῇ σκέπῃ τῆς Θεοτόκου, ὁ δὲ γέροντάς του ἦτο χρεία ἀπελθεῖν πρὸς ὠφέλειαν ψυχῶν· καὶ ἐπέστρεψεν ὁ μαθητὴς πρὸς τοὺς συναδέλφους του . . . . καὶ συνελθόντες καὶ οἱ ἄλλοι ἀδελφοί, ἡσύχαζον κοινοβιακῶς, λιτῶς τρεφόμενοι· καὶ μετὰ χρόνους πληθυνομένων τῶν μοναχῶν κατέβησαν εἰς τὸν αἰγιαλὸν καὶ ηὐξήθη ἡ Μονή*».

Ἐν ~~ἑτέρῳ~~ τῷ ἰδίῳ χειρογράφῳ ὑπ' ἀριθ. 34, ~~ὅπερ χρονολογεῖται ἀπὸ τοῦ 1310 ἢ Ἰνδικτιῶνος,~~ παρατηροῦμεν ὅτι οἱ μαθηταὶ τοῦ Ἁγίου Γρηγορίου τοῦ Σιναΐτου, ἔκτισαν τὴν πρώτην Ἐκκλησίαν ἐπ' ὀνόματι τοῦ Ἁγίου Νικολάου, κατὰ τὸ 1310 ἰνδικτ. Η! Ἰδιαιτέρως περὶ τοῦ βίου τῶν μαθητῶν τοῦ Ἁγίου ἰδοὺ ἐν ὀλίγοις τί περιλαμβάνει τὸ ἐν λόγῳ χειρόγραφον ἐν τῇ 6 σελίδι αὐτοῦ:

—«*Περὶ τῶν μαθητῶν τοῦ Ἁγίου, οἵτινες διέπρεψαν ἐν τῇ ἀσκήσει τῆς ἀρετῆς καὶ ἁγιότητος, πρῶτος πάντων εἶναι ὁ Ἅγιος Γεράσιμος, ὁ ἐξ Εὐρίπου, ἀναφανεὶς Θεοφόρος καὶ Ἅγιος, οὗ τὸ ἅγιον λείψανον εὑρίσκεται ἐν Ἑλλάδι . . . δεύτερος μαθητὴς ἐστάθη ὁ Ἰωσήφ, συμπολίτης τοῦ Ἁγίου Γερασίμου, ἀγωνισάμενος γενναίως κατὰ τῶν Λατίνων, τρίτος . . . . ὁ ἐξ Ἀθηνῶν Νικόλαος . . . . ὅπου μεγαλοψύχως ἀντέστη καὶ ὑπέφερε πολλὰ δεινὰ ἀπὸ τὸν βασιλέα Μιχαὴλ τὸν Λατινόφρονα. Τέταρτος . . . . Μάρκος ὁ θεωρητικώτατος καὶ ἐνάρετος ἀσκητής, καθὼς ἐφάνη εἰς αὐτὸν ἡ Θεοτόκος σκέπουσα τὸ Ἅγιον Ὄρος μὲ ὑπερθαύμαστον δορυφορίαν ἀγγέλων καὶ ἀρχαγγέλων . . . . Πέμπτος ὁ Ἅγιος Κάλλιστος, ὅπου ὕστερον Πατριάρχης Κωνσταντινουπόλεως ἐχρημάτισεν . . . . Ἕκτος ὁ ἀξιέπαινος Ἰάκωβος, ὅπου ἠξιώθη νὰ λάβῃ τὸ ἀξίωμα τῆς Ἀρχιερωσύνης, γενόμενος Σερβίων Ἐπίσκοπος . . . . Ἕβδομος*

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*μαθητὴς τοῦ Ἁγίου Γρηγορίου ἐστάθη ὁ ἀπὸ Συργιάννων Γρηγόριος ὁ δεύτερος, ὅπου φθάσας εἰς βαθύταιον γῆρας ὑπὲρ τὰ ἐννενήκοντα καὶ ὀκτὼ ὅλα ἔτη τῆς ἡλικίας αὐτοῦ χαίρων ἐγκώμια παρὰ τῶν Ἱερῶν Πατέρων τῶν ὑπογραψάντων τὸ ὀροθετικὸν γράμμα τοῦ Ἁγίου Παύλου ἔχον οὕτω : —* **«Τὸν Πνευματικὸν Νικόδημον καὶ τὸν ἀπὸ Συργιάννων γέροντα ἐκεῖνον κύριον Γρηγόριον, τὸν εἰς μαρτυρίαν ἄξιον καὶ πίστεως ἐπὶ πολύ».** *—Οὕτως εἴδαμεν καὶ τὸ ἀνεγνώσαμεν. Καὶ ἀφοῦ παρήκμασε καὶ κτίτωρ τῆς Μονῆς ἀναφανεὶς . . . . ἀνεπαύθη ἐν Κυρίῳ ἐν ἔτει ἀπὸ Χριστοῦ 1403».*

Καὶ οὗτοι μὲν εἰσὶν οἱ πρώτιστοι οἰκισταὶ καὶ κτίτορες τῆς Ἱερᾶς ἡμῶν Μονῆς, ἡμεῖς δὲ τὰ πνευματικὰ ἐκείνων ἀναστήματα καὶ τέκνα εὐλόγως ἀγαλλόμεθα καὶ χαίρομεν σήμερον ἐπὶ τῇ Ἱερᾷ μνήμῃ ἐκείνων, οἱ ὁποῖοι συνέστησαν τὴν Ἱερὰν ταύτην Κιβωτόν, δι᾽ ἧς πλεῖσται ὅσαι εὐλαβεῖς ψυχαὶ ὡδηγήθησαν εἰς τὸν λιμένα τῆς ἀρετῆς καὶ ἀπεδήμησαν εἰς Κύριον μὲ τὴν γλυκυτέραν ἀνακούφισιν ὅτι ἐξεπλήρωσαν τὸν προορισμόν των καὶ τὸν ὡραιότερον πόθον των, ἐκ τοῦ ὁποίου ὡρμήθησαν, ἐγκαταλείψαντες πᾶσαν βιωτικὴν μέριμναν, διὰ νὰ ἀφοσιωθῶσιν ὁλοψύχως εἰς τὴν λατρείαν τοῦ Θεοῦ.

Ἀληθῶς ἀθυμοῦμεν ἐπὶ τῇ παραλείψει ὑπὸ τοῦ ἱεροῦ Νικοδήμου ἐν τῷ πρὸς τοὺς Ἁγιορείτας Πατέρας ἐγκωμιαστικῷ αὐτοῦ λόγῳ, τῶν πρώτων τῆς Ἱερᾶς ἡμῶν Μονῆς Οἰκητόρων καὶ ἀποροῦμεν πῶς παρέλειψεν τόσους ἄλλους γνωστοὺς καὶ ἐξέχοντας καὶ ἀναγράφει μόνον ἕνα μὴ ἀναφέρων καὶ τούτου σαφῶς, τήν τε καταγωγὴν ὡς καὶ τὸν χρόνον καὶ τὸν τόπον τῆς βιοτῆς αὐτοῦ.

Ἀλλ᾽ ἂς μὴ πικραινώμεθα, διότι ἡμεῖς δὲν εἴμεθα τέκνα ἀγνώστου πατρός, ἀλλὰ τέκνα ἐνδόξων ὡς εἴδομεν προγόνων. Τέκνα τῆς Μονῆς ἐκείνης, ἐν ᾗ ἠσκήθησαν μετὰ τόσου ἐνθέου ζήλου, καὶ παρεσκευάσθησαν δοχεῖα τοῦ Παναγίου Πνεύματος, ἄνδρες ἱεροὶ τιμήσαντες θρόνους Ἐπισκοπικοὺς καὶ Πατριαρχικοὺς ἔτι θρόνους, ὁμολογηταὶ καταισχύναντες τοὺς Λατινόφρονας Μιχαὴλ τὸν Βασιλέα καὶ Βέκκον τὸν Πατριάρχην, ἄνδρες μεγαλοπρεπεῖς, ὧν ἡ ψυχὴ ἠωρήθη ὑπεράνω καὶ τῶν ὑπερκοσμίων ἐν ἐκστάσει θείᾳ ἀξιωθεῖσα νὰ θεωρήσῃ τὴν λαμπρόφωτον τῶν οὐρανῶν Βασίλισσαν, καὶ τὴν τοῦ Ὄρους τούτου μεγάλην καὶ ἔνθερμον μετὰ Θεὸν προστάτιδα ὑπὸ Ἀγγέλων καὶ Ἀρχαγγέλων δορυφορουμένην.

Ἰδοὺ λοιπόν, Ἀδελφοί, ὅτι οὐχὶ ἀφανὴς καὶ ἄσημος, καὶ ἀγνώστου κτίτορος Μονή, καὶ ἐστερημένη διαπρεπῶν τέκνων, ἡ Ἱερὰ καὶ προσφιλὴς ἡμῶν Μετάνοια. Εἶνε Μονή, ὡς ἀνωτέρω εἴπομεν καὶ Πατριαρχῶν καὶ Ἐπισκόπων, καὶ Ὁμολογητῶν καὶ Θεωρητικῶν. Μήτηρ ἐστὶν ἐκείνου, ὅστις ὑπῆρξεν ὁ μέγιστος Καθηγητὴς τῆς νοερᾶς προσευχῆς, ὡς μήτηρ ἐστὶ καὶ τοῦ μεγάλου ἐκείνου Γέροντος καὶ Σκευοφύλακος αὐτῆς Ἰωακεὶμ τοῦ Βεομηντάρου τοῦ ἐκ Κατοχῆς τῆς Ἀκαρνανίας, τοῦ Ἰωακεὶμ ἐκείνου τοῦ ὑπερόχου, ὅστις ὅταν ἡ Μονὴ ἡμῶν ἐκ συνεργίας τοῦ μισοκάλου εἰς τὸ παντελὲς ἀπετεφρώθη τῇ 30ῃ Νοεμβρίου 1761, καὶ ἅπαντα τὰ ἐν αὐτῇ ἐναπομείναντα τέκνα αὐτῆς πρὸς αὐτὸν καὶ μόνον τὴν ἐλπίδα τῆς ἀνοικοδομήσεως ἐναπέθεντο, ὑπήκουσεν εἰς τὴν φωνὴν τῶν ἀδελφῶν καὶ ἀντλῶν ζωὴν ἀπὸ τοῦ ἱεροῦ σκοποῦ, ὡσεὶ ἄνωθεν ἐξωογονεῖτο ἀπῆλθεν εἰς



Κωνσταντινούπολιν ὅπου τὴν συνδρομὴν ἐπεκαλεῖτο τῶν φιλοχρίστων ὑπὲρ τῆς ἀνοικοδομήσεως τῆς πυρποληθείσης Μονῆς. Ὢ! τῆς Ἁγίας καὶ φιλαδέλφου σου ψυχῆς ἀείμνηστε Πάτερ Ἰωακείμ. Ὁ ἐλεούμενος ἐλέη, ὁ διὰ τοῦ σεβασμίου του χαρακτῆρος καὶ παραστήματος καὶ τὸν τότε Σουλτάνον πρὸς συμπάθειαν καὶ ἔλεος ὑπὲρ τῆς Ἱερᾶς ἡμῶν Μονῆς παρακινήσας, δὲν ἐφρόντιζε μόνον ὑπὲρ τῆς δοκιμαζομένης Μετανοίας του, ἀλλὰ καὶ ὑπὲρ τῶν δεινοπαθούντων ἀδελφῶν. Πιστὸς οὗτος εἰς τὸ θεῖον παράγγελμα «Ἀγάπα τὸν πλησίον σου» καὶ οὐδ᾽ ἐπὶ στιγμὴν ἐπιλαθόμενος τῆς ἀκρογωνιαίας ταύτης τοῦ χριστιανισμοῦ ἐντολῆς, ἀπηλευθέρωνεν αἰχμαλώτους καὶ δούλους ἐξαγοράζων παρὰ τῶν κυρίων των τούτους ἀπέστελλεν αὐτοὺς ἰδίαις αὐτοῦ δαπάναις καὶ μερίμναις πρὸς τοὺς προσφιλεῖς αὐτῶν γονεῖς, ὡς τὰ περισωζόμενα ἐπίσημα ἔγγραφα μαρτυροῦσιν. Ἀκούσατε τί Γρηγόριος ὁ Ἀλεξάνδρου Γκίκας Βοεβόδας καὶ Ἡγεμὼν πάσης Μολδαυΐας διὰ τοῦ ἀπὸ τοῦ 1777 ἔτους Ἡγεμονικοῦ Χρυσοβούλλου διακηρύττει : *«Δηλοποιοῦμεν διὰ τοῦ παρόντος Ἡγεμονικοῦ Χρυσοβούλλου . . . . . ὅτι ὁ ἐκ τῆς Μονῆς Γρηγορίου τῆς εἰς τὸ Ἅγιον Ὄρος κειμένης, Ὁσιώτατος κὺρ Ἰωακείμ, φόβῳ Θεοῦ καὶ εὐλαβείᾳ κεκοσμημένος ἐκ τῆς ἰδίας αὐτοῦ προαιρέσεως ἐποίησε τοῦτο τὸ σωτήριον κατόρθωμα ἐξαγοράσας ἐκ τῆς τῶν Ἀγαρηνῶν δουλείας οὐκ ὀλίγους τῶν εὐσεβῶν Χριστιανῶν . . . . εἰς τῆς Μολδαυΐας καταναλώσας . . . τὰ περὶ αὐτὸν ἅπαντα καὶ μὴ ὄντα ἱκανὰ πρὸς ἀγορὰν τούτων, καὶ παρ᾽ ἄλλων μετὰ τόκου ἐδανείσθη, καὶ ἀπαλλάξας αὐτοὺς ἐκ τῆς τοῦ ζυγοῦ δουλείας, ἕκαστον πρὸς τὴν ἰδίαν πατρίδα ἀπέστειλεν . . . . »* Ὁ δὲ Οὐγγροβλαχίας Μητροπολίτης, καὶ ὁ ταύτης Βοεβόδας καὶ Ἡγεμὼν Ἰωάννης Ἀλεξάνδρου Ὑψηλάντης διὰ Χρυσοβούλλων αὐτῶν ἀπὸ τοῦ 1776 ἔτους τοιαῦτα διαλαλοῦσιν . . . . . *«Ὁ Ὁσιώτατος ἐν Μοναχοῖς κὺρ Ἰωακεὶμ πολλὰ εὐεργετήσας τὴν πατρίδα μας διὰ τῆς ἐλευθερίας πολλῶν Χριστιανῶν . . . . . αἰχμαλωτισθέντων ἐν τῷ διαστήματι τοῦ παρόντος πολέμου . . . . Αὕτη τοίνυν ἡ χάρις θεμελιωμένη ἐπὶ τῇ παρὰ παντὸς τοῦ γένους μας προσοφειλομένῃ εὐγνωμοσύνῃ εἰς τὴν Ὁσιότητά του διὰ τὴν προρρηθεῖσαν εὐεργεσίαν . . . . . »* Θαῦμα δράσεως καὶ ἐνεργητικότητος καὶ ἀγαθοποιΐας τὸν Ὁσιώτατον τοῦτον πατέρα ἡμῶν Ἰωακεὶμ συναντῶμεν τὰ ἀγαθὰ καὶ μεγάλα καὶ ἱερὰ ἔργα ποιοῦντα οὐ μόνον ἐν Ἁγίῳ Ὄρει, ὑπὲρ τῆς φιλτάτης αὐτῷ Μετανοίας, οὐ μόνον ἐν Μολδαυΐᾳ καὶ Οὐγγροβλαχίᾳ, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ νήσῳ Πρώτῃ. Ὁποία ἀγαλλίασις, ὁποία εὐγενὴς ὑπερηφάνεια πλημμυρίζει τὴν ψυχὴν παντὸς Ἁγιορείτου, ἀλλ᾽ ἰδίᾳ ἡμῶν τῶν Γρηγοριατῶν, ἡμῶν τῶν ἐγγυτάτων τέκνων τοῦ Ἰωακεὶμ τούτου ὅταν ἐγείροντες τοὺς ὀφθαλμοὺς ἡμῶν πρὸς τὰ ἄνωθεν τῆς θύρας τοῦ Ι. Ναοῦ τῆς ἐν τῇ νήσῳ Πρώτῃ παρὰ τὴν Προποντίδα Ἱερᾶς Μονῆς τῆς Μεταμορφώσεως, ὁρῶμεν τὴν καὶ νῦν ἔτι σωζομένην ἐνεπίγραφον πλάκα διασαλπίζουσαν διὰ μέσου τῶν ἐνιαυτῶν περὶ τοῦ μεγάλου Πατρὸς ἡμῶν Ἰωακεὶμ τάδε :

« Ἀφοῦ ἀμέτρητα καλὰ ἔκαμεν εἰς ἀνθρώπους
» Καὶ ἠλευθέρωσε πολλοὺς εἰς διαφόρους τόπους
» Καὶ βοηθεῖ τὰ ὀρφανὰ τὰς χήρας καὶ ἀπόρους
» Καὶ κατορθοῖ πᾶν ἀγαθὸν μὲ διαφόρους τρόπους
» Καὶ Ἰωακεὶμ ὁ μοναχὸς καὶ δοῦλος τοῦ Κυρίου
» Καὶ Σκευοφύλαξ τῆς Μονῆς ἐν Ἄθῳ Γρηγορίου
» Ἐκ βάθρων ἀνεκαίνισε μὲ ἔξοδον μεγάλον
» Τῆς Πρώτης τὴν Μονὴν αὐτὴν ἔκτισε καὶ ἄλλον.
. . . . . . . . . . . . . . . . . . .
» Χιλίους ὀγδοήκοντα πέντε καὶ ᾽πτακοσίους
» Ἐκαινουργήθη ἡ Μονὴ μὲ κόπους του μυρίους.
» Λοιπὸν ἀναγινώσκοντες ταῦτα᾽ ὦ ἀδελφοί μου
» Ἂς δεηθῶμεν τοῦ Θεοῦ γι᾽ αὐτόν, ἀγαπητοί μου ».

Ἀλλ᾽ εἰς ταῦτα καὶ μόνον περιορίζονται τὰ καλὰ καὶ θεάριστα ἔργα τοῦ τῆς Ἱερᾶς ἡμῶν Μονῆς μεγάλου καυχήματος καὶ πατρὸς ἡμῶν Ἰωακείμ ; Πολλοῦ γε καὶ δεῖ. Οἱ μελετῶντες τὰ πολύμα τῆς Ιερᾶς ἡμῶν Μονῆς Ἀρχεῖα καὶ τὴν Ἱστορίαν αὐτῆς καὶ τοῦ ὅλου Ἁγίου τούτου Ὄρους ἀναδιφῶντες ἀνευρίσκουσιν ὅτι ὅταν ποτὲ αἱ ὀκτωκαίδεκα Ἱεραὶ τοῦ Ἁγίου Ὄρους Μοναὶ κατεπιέζοντο καὶ κατετυρανοῦντο ὑπὸ τῶν ἑτέρων δύο Μονῶν τῆς Λαύρας καὶ τῆς τῶν Ἰβήρων, συσκεφθεῖσαι, ἕνα ἐν τῷ ζόφῳ τῷ κυκλοῦντι τὴν ψυχὴν αὐτῶν φάρον πρὸς λιμένα τῆς αὐτῶν σωτηρίας ἄγοντα, ἀνεῦρον τὸν Ἰωακείμ, καὶ πάλιν τὸν Γρηγοριάτην Ἰωακείμ, καὶ ὁλοσφράγιστον πρὸς ἐκεῖνον γράμμα ἀπηύθυναν ἐν ᾧ μετ᾽ ἄλλων καὶ τὰ ἀκόλουθα ἔγραφον . . . . . . *«Ἐπειδὴ ἂν δὲν γίνῃ καμμία οἰκονομία ὅλοι ἔχουν νὰ φύγουν καὶ νὰ ἀφίσουν παντέρημα τὰ πτωχὰ Μοναστήρια. Δι᾽ ἀγάπην λοιπὸν τῶν δυστυχῶν καὶ ἐξαιρέτως τῶν ἀρχαίων πτωχῶν Μοναστηρίων δεῖξον προθύμως βοήθειαν, καὶ ὁ μισθός σου θέλει εἶναι ἀπειροπλάσιος παρὰ Θεοῦ»*. Καὶ δι᾽ ἑτέρου πρὸς αὐτὸν ὁλοσφραγίστου γράμματος τῷ 1775 ἐβόων καὶ πάλιν: *«Ἂν δὲν προφθάσῃ τὸ ἔλεος τῶν χριστιανῶν ἔκλεισαν τὰ Μοναστήρια, ὅθεν σὲ παπακαλοῦμεν νὰ μὴ ὀκνήσῃς»*.

Τοιαῦτα καὶ ἄλλα πολλὰ εἰσὶ τὰ τοῦ ἡμετέρου ὑπερόχου Πατρὸς ἡμῶν Ἰωακεὶμ ἔργα, ὦ σεβαστοί μοι Πατέρές, καὶ ἀγαπητοί μου Ἀδελφαί, ἅτινα πολυσέλιδον τόμον ν᾽ ἀποτελέσωσιν ἱκανὰ εἰσὶν ἂν ἅπαντα λεπτομερῶς ἀναγραφῶσι. Πρὶν ἢ ὅμως τὸν περὶ αὐτοῦ ἐμὸν λόγον καταστρέψω, καθῆκόν μου θεωρῶ νὰ δώσω τοῦτον καὶ τοῖς μετ᾽ αὐτοῦ συνεργασθεῖσι, συνδοκιμασθεῖσι, καὶ συγκοπιάσασιν ἀειμνήστοις ἡμῶν Πατράσι, πρὸς ἀνέγερσιν τῆς καταστραφείσης Μετανοίας ἡμῶν. *«Κατὰ τοὺς 1762, λέγει ὁ γράψας τὴν εἴδησιν πρὸς τοὺς μεταγενεστέρους, ἐν Χριστῷ ἀδελφοὺς ἐν ἔτει 1793 — κρίμασιν οἷς οἶδε Κύριος ὁ Θεός, Νοεμβρίου μηνὸς ἐσχάτῃ ἡμέρᾳ Κυριακῇ ἐπυρπολήθη καὶ ἐκάη τελείως τὸ Ἰ. Μοναστήριον . . .*



*δι᾽ ὃ ἔκτοτε ὁ Ἁγιώτατος Γέροντας καὶ προστάτης καὶ κοινὸς ἡμῶν πατὴρ κύριος Ἰωακείμ, θείῳ ζήλῳ κινηθεὶς τῇ θερμῇ ἐπιστασίᾳ τοῦ Μεγάλου Ἱεράρχου Νικολάου τοῦ θαυματουργοῦ . . . . . . ἠμπόρησεν ὁ γενναῖος οὗτος πατὴρ ἡμῶν καὶ ἀνέκτισεν αὖθις τοῦτο τὸ ἱερὸν Μοναστήριον, ὄχι μόνον εἰς τὸ πρῶτον κάλλος καὶ μέγεθος, ἀλλ᾽ ἑκατονατπλασίως περισσότερον . . . . . . . εἰς ἄπειρον χαρὰν τῆς εὑρεθείσης Ἀδελφότητος, ἥτις καὶ τοσοῦτον ἐκοπίασεν, ὥστε διὰ γλώσσης ἀδύνατον διηγήσασθαί τις· διότι ἀντὶ ἱδρώτων αἷμα ἐστάλαζεν ἀπὸ τὰς ὁσίας αὐτῶν σάρκας. Ἐπειδὴ εἰς ὅλην τὴν κτίσιν τοῦ Μοναστηρίου μὲ τοὺς ὤμους των οἱ ἀξιομακάριστοι . . . . ἔφεραν πάσας τὰς ὕλας . . . . .»*

Καὶ ταῦτα μέν, ὦ συμπανηγυρίζοντες σήμερον Ἀδελφοί, τὰ περὶ τοῦ μεγάλου γέροντος καὶ Πατρὸς ἡμῶν Ἰωακείμ. Μνημονεύσαντες ὅμως ὅσους ἀνωτέρω ἐμνημονεύσαμεν, ἠδυνήθημεν νὰ φέρωμεν σήμερον ἐνώπιον ἡμῶν ἅπαντας τοὺς διακεκριμένους, πάντας τοὺς διὰ μέσου τῶν αἰώνων ὑπερμοχθήσαντας ὑπὲρ τῆς Ἱερᾶς ἡμῶν Μετανοίας ; Πολλοῦ γε καὶ δεῖ. Τί περὶ τοῦ Γέροντος Σπυρίδωνος εἴπωμεν τοῦ τὴν ἀνασύστασιν αὐτῆς ἀναλαβόντος κατὰ τὸ σ. ἔ. 1493 μέχρι τοῦ 1500, μετὰ τὴν παντελῆ καταστροφὴν καὶ ἐρήμωσιν αὐτῆς, ἀνηλεῆ δὲ σφαγὴν τῶν τότε ἐν αὐτῇ Πατέρων ὑπὸ τῶν ληστοπειρατῶν; Ποῦ δὲ τόσοι καὶ τόσοι ἄλλοι ;

Μήπως δὲν συγκαταλέγονται μεταξὺ τῶν ὑπὲρ τῆς Μονῆς ἡμῶν μαρτυρησάντων, καὶ τοῦ ἰδίου δὲν ἀξιοῦνται πρὸς τοὺς Κτίτορας μισθοῦ, καὶ οἱ κατὰ τὴν φοβερὰν κρίσιν τῆς μεγάλης τοῦ 1821 Ἑλληνικῆς Ἐπαναστάσεως ἐναπομείναντες Πατέρες, καὶ μαρτύρια ἴσα πρὸς τὰ τοῦ Ἁγίου Ἰακώβου τοῦ Πέρσου ὑπομείναντες, καὶ πρὸς Κύριον μεταστάντες Χατζῆ Παρθένιος, Χριστοφόρος, Ἰωακείμ, Νικηφόρος, Δαμασκηνός, Διακο-Ἀνανίας, Παπα-Μητροφάνης, Παπα-Δανιήλ, Στέφανος, Ἰωάσαφ καὶ Παρθένιος ἐντὸς τῆς Μονῆς, Νικηφόρος ἐν τῷ ἐν Καρυαῖς Κονακίῳ, καὶ ἕτερος Δαμασκηνὸς ἐν τῷ Μύλῳ; Ἀκούσατε πῶς περιγράφει τὰ τῆς ἐποχῆς ἐκείνης Νικηφόρος τις μοναχός, ἐν περισωθείσῃ ἐπιστολῇ του, πρός τινα ζητοῦντα πληροφορίας περὶ τοῦ ἀδελφοῦ του : *« Θείᾳ χάριτι ὑγιαίνω κἀγώ* — ἔγραφεν ὁ Νικηφόρος — *πλὴν οὐχ᾽ ὡς θέλω. Καθότι ἀπὸ τὰς πάνδεινας καὶ χαλεπὰς συμφορὰς τοῦ καιροῦ, ὅπου ἐξ ἁμαρτιῶν μας φεῦ ! ἠκολούθησαν εἰς τοῦτο τὸ ποτὲ μὲν τίμιον καὶ Ἅγιον Ὄρος, νῦν δὲ οἴμοι ! βέβηλον καὶ ζοφῶδες, τοῦ ὁποίου τὰς συμφορὰς χεὶρ καὶ κάλαμος ἀνθρώπων δὲν δύναται νὰ περιγράψῃ κατα-λεπτῶς, ἀλλὰ χρήζουσιν ἕναν ἄλλον θρηνητικώτατον Ἱερεμίαν νὰ τὰς ἐκτραγῳδήσῃ· καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς Κυρίου, ἀλλ᾽ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλὴ παιδεύουσα εἰσέτι καὶ νῦν ἡμᾶς, ἀπὸ μὲν τὸ ἓν μέρος μὲ τὰ ἀδιάκοπα μηνιαῖα τῶν στρατιωτῶν, ἀπὸ δὲ τὸ ἄλλο μὲ τὰς καταδρομὰς τῶν κατηραμένων ληστῶν . . . . . Καὶ τώρα οὔτε ἡ γῆ σπείρεται, οὔτε οἱ ἀμπελῶνες καλλιεργοῦνται, οὔτε ἄλλο τι χρή-σιμον ἐργόχειρον δουλεύεται, καὶ πολλοὶ καλόγηροι ἔφυγον ἐντεῦθεν κἀκεῖθεν, ἄλλοι δὲ πάλιν ἀνηλεῶς ἐξ αὐτῶν ἐθανατώθησαν διὰ ποικίλων βασάνων, καὶ ἄλλοι κουλοὶ καὶ μυσεροὶ ἔμειναν . . . . . Ἀχ ! ἀληθῶς πληροῦται εἰς ἡμᾶς τὸ τοῦ Προφήτου Ἰε-*

ρεμίου λόγιον : *«Πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα λύπη ἐν καρδίᾳ εἰς λύπην»* * Ἀλλὰ
μήπως αἱ ἐπὶ τῆς παλαιᾶς θύρας τῆς Ἱ. ἡμῶν Μονῆς καὶ σήμερον ἔτι δρώ-
μεναι ὀπαὶ ἐκ σφαιρῶν ὅπλων δὲν βεβαιοῦσι τ' ἀνωτέρω, ~~δὲν ἐπιβεβαιοῦσι τὰ~~ ὑπὸ
τοῦ Νικηφόρου γραφόμενα; Μήπως τὰ ὀστᾶ τῶν ἀνωτέρω μνημονευθέντων Πα-
τέρων μας δὲν εὑρέθησαν κατὰ τὴν ἀνακομιδὴν αὐτῶν τεθραυσμένα καὶ ἐλλιπῆ
τρανώτατον μαρτύριον τῶν ὧνπερ ἐκεῖνοι ὑπέστησαν κακώσεων; Ἢ μήπως μεταξὺ
τῶν εἰς Θεσσαλονίκην ὡς ὁμήρων ἀπαχθέντων καὶ ἐν ταῖς ἐκεῖ φυλακαῖς σφα-
γιασθέντων 82 Ἁγιορειτῶν Μοναχῶν δὲν συγκατελέγοντο καὶ Γρηγοριάται Μο-
ναχοί; Ἢ μήπως ἐκ τῶν εἰς Κωνσταντινούπολιν ἀποσταλέντων 12 Ἁγιορειτῶν
Πατέρων, ἐξ ὧν εἷς ἐτελεύτησε καθ' ὁδὸν οἱ δὲ λοιποὶ ἐθανατώθησαν, δὲν ὑπῆρχε
καί τις ἐκ τῶν Γρηγοριατῶν οὓς ἀνέκαθεν θερμὸς διέκρινε πατριωτικὸς ζῆλος;

Πῶς δὲ σιωπήσωμεν, μνημοσύνου τελουμένου σήμερον Ἀδελφοί, καὶ τοῦ ἐξ ἴσου Μεγάλου Ἁγιορείτου, τοῦ ἀειμνήστου Γέροντος ἡμῶν Ἀρχιμανδρίτου Συμεών, ὅστις οὐ μόνον τὴν γεννέτειραν αὐτοῦ Τρίπολιν καὶ τὴν Ἱερὰν ἡμῶν Μονήν, ἀλλὰ καὶ τὴν ὅλην Ἁγιορειτικὴν Ἀδελφότητα ἐτίμησε; Μέγας ἀληθῶς προσήκει λόγος διὰ τὸν Συμεών, ὅστις ὡς ὁ Ἰωακεὶμ εἰς ἀρχαιοτέρους ὡς εἴπομεν χρόνους, οὕτω καὶ οὗτος παραιτηθεὶς τῶν καθηκόντων τοῦ ὑπογραμματέως παρὰ τῇ Ἱ. Κοινότητι προσῆλθεν εἰς τὴν Ἱερὰν ἡμῶν Μονὴν κατὰ Μάϊον τοῦ 1859 ἀληθῶς θεόπεμπτος, διότι εὗρε ταύτην οἰκονομικῶς κατάχρεων καὶ διοικητικῶς παρημελημένην, ἐξηρθρωμένην, ἕνεκα τῶν ἐρίδων τῶν δύο πρὸ αὐτοῦ Ἡγουμένων, μὲ τὰ Μετόχια αὐτῆς εἰς ἀξιοθρήνητον κατάστασιν, μὲ τὸ ἐνταῦθα αὐτῆς δάσος τελείως ἐγκαταλελειμμένον, μὲ δανειστὰς κυριολεκτικῶς εἰς σατράπας τῆς Ἱερᾶς Μονῆς ἡμῶν καταστάντας, ὡς πάμπολλαι περισωθεῖσαι ἐπιστολαὶ μαρτυροῦσι, καὶ ὡς οἱ πάντες, ἐξ αὐτοψίας μὲν οἱ σύγχρονοι, ἐξ ἀκοῆς δὲ οἱ μεταγενέστεροι γνωρίζομεν ὅτι, καὶ ὑπὸ περιορισμὸν ἐτέθη προσκληθεὶς ἐν τῇ Ἱ. Μ. τοῦ Βατοπαιδίου περὶ τὰ 1875, καὶ δὲν θ' ἀπελύετο ἐξ αὐτῆς ἂν μή τις Ἀναγνώστου τοὔνομα, ἐδάνειζεν τῷ Συμεὼν τὰ πρὸς τὸν Βατοπεδινὸν Σατράπην δανειστὴν ὀφειλόμενα. Τί δὲ ὁ ἀγήρω μνήμης Γέρων Συμεὼν ἐποιήσατο ὑπὲρ τῆς Ἱ. Μετανοίας ἡμῶν, καὶ ποία ἡ κατὰ Χριστὸν πολιτεία αὐτοῦ, ὡς Μοναχοῦ καὶ Καθηγουμένου ἐπὶ ἓξ καὶ τεσσαράκοντα συναπτὰ ἔτη;

Τὸν προσήκοντα Αὐτῷ μεγαλοπρεπῆ στέφανον τιμῆς βαθυτάτης καὶ ἐπαίνων μεγάλων, ἄτολμος ἐγὼ νὰ πλέξω, ἐφ' ὅσον ἀκούω τὴν φωνὴν τίνος; Τῆς Μητρὸς ἡμῶν Μεγάλης Ἐκκλησίας, ἥτις διὰ τοῦ ἀπὸ τοῦ 1901 σ. ἔ. γράμματος Αὐτῆς βροντοφωνεῖ τοιάδε : «*Ὁσιώτατε Ἡγούμενε τῆς ἐν Ἄθῳ Βασιλικῆς καὶ Πατριαρχικῆς Μονῆς τοῦ Γρηγορίου, κὺρ Συμεών. Ἡμεῖς τε προσωπικῶς ἐξ ἰδίας ἀντιλήψεως γινώσκομεν, ἀλλὰ καὶ ἡ Μήτηρ Ἐκκλησία ἡ κατὰ καθῆκον διερευνῶσα καὶ παρακολουθοῦσα τὰ κατὰ τὰς εὐαγεῖς Μονάς, καὶ περὶ τῶν ἰθυνόντων ἐνήμερος διατελεῖ οὖσα, περὶ τῆς ἐν ἄκρᾳ ἀφοσιώσει καὶ φιλοθέῳ ζήλῳ ἐπιμελείας τῆς Αὐτῆς Ὁσιότητος, ἥτις ἀπὸ τεσσαράκοντα καὶ πλέον ἐτῶν διαρκῶς Ἡγουμενεύουσα τῆς εὐαγοῦς ταύτης Μονῆς, οὐ μόνον τὰ κατ' τύτὴν καλῶς καὶ χρησίμως διῴκησε καὶ διερρύθμισεν ἢ μᾶλλον ἀνώρθωσεν ὅλως ταύτην ἐν ἀνωμάλῳ καὶ δυσχερεῖ θέσει κειμένην, ἀλλὰ καὶ πολιτείαν ἐπεδείξατο συνετήν, καὶ ἦθος μετριόφρον, καὶ ἀρετὴν Χριστιανικήν, οἷα ὄντως τοῖς εἰς Θεὸν ἀφωσιωμένοις ἐμπρέπουσιν . . . . .*»

* ΣΗΜ.—Γερασίμου Σμυρνάκη «Τὸ Ἅγιον Ὄρος» σελ, 183.

ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ



Ὅταν λοιπὸν ἡ Μήτηρ ἡμῶν Μεγάλη Ἐκκλησία μὲ τὸ βαρὺ Αὐτῆς κῦρος ἀποκαλεῖ τὸν Γέροντα Συμεὼν ἀνορθωτὴν τῆς Ἱερᾶς ἡμῶν Μετανοίας, καὶ ἀρετῇ Χριστιανικῇ κεκοσμημένον, ὅταν τὰ πράγματα αὐτὰ μαρτυροῦσι καὶ ἐπιβεβαιοῦσιν, οἷα ἡ ἐκ τῶν χρεῶν ἀπολύτρωσις, ἡ τῶν κτιρίων τῆς Μονῆς διπλασίασις, ἡ τῶν Μετοχίων ἀνάπτυξις καὶ ἀκμή, ἡ τοῦ Διοικητικοῦ τῆς Μονῆς συστήματος διαρρύθμισις καὶ τόσα καὶ τόσα ἄλλα· ὅταν πάντες οἱ ἐπίσημοι ὁμογενεῖς τε καὶ ξένοι οἱ κατὰ τοὺς χρόνους τῆς Ἡγουμενείας του τὸ Ἅγιον Ὄρος καὶ τὴν Ἱερὰν ἡμῶν Μονὴν ἐπισκεψάμενοι, ἐν σεβασμῷ καὶ θαυμασμῷ περὶ τοῦ Ἀρχιμανδρίτου Συμεὼν ἀποφαίνονται, οὗτοι μὲν τὰς Χριστιανικὰς ἀρετὰς ἀποθαυμάζοντες, ἄλλοι δὲ τὴν διοικητικὴν δεινότητα ἐξαίροντες, τὸ ἁγνὸν δὲ καὶ πατριωτικὸν ἐκείνου αἴσθημα ἐγκωμιάζοντες, τίς ἀπομένει μοι λόγος, καὶ τί νὰ συμπληρώσω ἐγὼ ὁ ταπεινὸς ἐκείνου πνευματικὸς υἱὸς δύναμαι;

Δὲν εἶνε καὶ τῆς ἀληθείας ὀλιγώτερα ὅσα περὶ τοῦ ἀειμνήστου Γέροντος ἡμῶν Συμεὼν ἀναφέρομεν : Τίς ἐξ ἡμῶν δὲν ἐνθυμεῖται τὴν γόησσαν ἐκείνου φωνήν, κατὰ τὰς τελευταίας τῆς ζωῆς του στιγμάς, ὁπότε προσκαλῶν παρ' ἑαυτῷ ἕνα ἕκαστον ἡμῶν ἔδιδεν ἡμῖν καὶ ἐλάμβανε παρ' ἡμῶν συγχώρησιν ; Καὶ τίς ἐξ ἡμῶν ἐλησμόνησε τοὺς τελευταίους ἐκείνου λόγους ὅτε ἐν τῇ διηνεκεῖ αὐτοῦ ὑπὲρ τῆς ποίμνης αὐτοῦ μερίμνῃ, δὲν παρέλειψε καὶ τὸν ἐπάξιον αὐτοῦ διάδοχον, τὸν ἐν μακαρίᾳ τῇ λήξει ἤδη γενόμενον, Ἱερομόναχον Ἰάκωβον τοῖς Ἱερομονάχοις καὶ γεροντοτέροις νὰ ὑποδείξῃ ;

Καὶ δικαίως. Διότι καὶ ὁ μακαρίᾳ τῇ λήξει ἐπὶ πενταετίαν ὅλην τῆς Ἱερᾶς ἡμῶν Μετανοίας Ἡγουμενεύσας οὐχὶ τυχοῦσα ὑπῆρξεν Ἁγιορειτικὴ φυσιογνωμία. Ὁ Ἰάκωβος πρὶν ἢ ἀναδειχθῇ τῆς Ἱερᾶς ἡμῶν Μονῆς Ἡγούμενος ἀντεπροσώπευσε ταύτην ἐπὶ δώδεκα ὅλα ἔτη παρὰ τῇ Ἱερᾷ Κοινότητι. Καίτοι δὲ εἰς χρόνους ἐξαιρετικῶς χαλεποὺς ἀντιπροσώπευσε ταύτην, ἐν τούτοις ἠδυνήθη διὰ τῶν ἐξόχων αὐτοῦ ἀρετῶν καὶ τὴν Ἱερὰν Κοινότητα νὰ τιμήσῃ, καὶ τῆς Μετανοίας του τὸ κῦρος νὰ συγκρατήσῃ καὶ ἐπιβάλῃ, καὶ τὰ Ἁγιορειτικὰ συμφέροντα νὰ προασπίσῃ διὰ τῆς ἀνδρικῆς καὶ πατριωτικῆς ἀπό τε Ἁγιορειτικῆς καὶ γενικῆς Ἑλληνικῆς ἀπόψεως, καὶ συνετῆς πολιτείας του. Ὁ Ἰάκωβος ὑπῆρξε πιστὸς καὶ εἰλικρινὴς ἐκπληρωτὴς τῶν Ἡγουμενικῶν αὐτοῦ καθηκόντων. Ἀτυχῶς ἀπῆλθε πρὸς Κύριον μετὰ ὀλιγοχρόνιον —πενταετῆ μόλις— Ἡγουμενίαν, καὶ νέος εἰσέτι, χωρὶς νὰ δυνηθῇ νὰ πραγματοποιήσῃ ὅσα μεγάλα ὑπὲρ τῆς Ἱερᾶς αὐτοῦ Μετανοίας καὶ ὑπὲρ τοῦ ὅλου Ἁγίου Ὄρους ἐμελέτα. Καὶ θέλει παραμείνῃ παράδειγμα αὐταπαρνήσεως καὶ αὐτοθυσίας, οὐ μὴν δ' ἀλλὰ καὶ ἀπεριγράπτου ὑπομονῆς πᾶσιν ἡμῖν, χάριν τῆς ἀγαπητῆς αὐτῷ Ἱερᾶς Μετανοίας του, ἧς τὸ κῦρος καὶ τὰ συμφέροντα ὑπεστήριζε καὶ ὑπερήσπιζε μὲ ὑπεράνθρωπον ἀγῶνα καὶ ἀνδρικώτατον σθένος.

Τὸν λόγον ποιούμενοι περὶ Συμεὼν καὶ Ἰακώβου ὁμιλοῦμεν πλέον περὶ

συγχρόνων ἡμῶν. Καὶ ἐπιτρέπεται ἡμῖν νὰ αἰσθανώμεθα ἰδιαιτέραν τινὰ τιμὴν καὶ ὑπερηφάνειαν διότι οὐμόνον ἐπὶ ἀρχαίᾳ πατραγαθίᾳ σεμνυνόμεθα, ἀλλὰ καὶ συγχρόνους ἐξόχους ἄνδρας ἡ Ἱερὰ ἡμῶν Μετάνοια νὰ ἐπιδείξῃ δύναται, παράδειγμα ἡμῖν πρὸς μίμησιν ἀείποτε προκειμένους.

Ἰδοὺ ποίων προγόνων καὶ ποίων κτιτόρων μνημόσυνον τελετὴν τελοῦμεν σήμερον, Ἀδελφοί. Καὶ ἀκούω ὑπὲρ αὐτῶν τὴν τῆς ἀποκαλύψεως φωνὴν λέγουσαν : «*Γράψον, Μακάριοι οἱ νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπ᾽ ἄρτι. Ναί, λέγει τὸ Πνεῦμα, ἵνα ἀναπαύωνται ἐκ τῶν κόπων αὐτῶν, τὰ δὲ ἔργα αὐτῶν ἀκολουθεῖ μετ᾽ αὐτῶν.*»

Χαίρετε ψυχαὶ τρισμακάριαι τῶν πατέρων ἡμῶν τῶν ἐν Ἁγιότητι, Ὁσιότητι καὶ Δικαιοσύνῃ διαπρεψάντων καὶ πρὸς τὴν οἰκείαν εὐγένειαν ἐπανελθόντων. Ψυχαὶ τὸν Μέγαν Δεσπότην καὶ πρότερον καὶ νῦν μετὰ παρρησίας ἐνορῶσαι. Ἔλθετε πρὸς στιγμήν, καταλείψατε τὰς αἰωνίους σκηνὰς καὶ ἐπιφοιτήσατε νοερῶς ἐφ᾽ ἡμᾶς τὰ πνευματικὰ τέκνα Σας, τὰ καθ᾽ ἑκάστην ἡμέραν προσβολαῖς τῶν δαιμόνων βαλλόμενα, καὶ τῆς ἀντιλήψεως ὑμῶν χρήζοντα. Μὴ διαλείπετε τοῦ πρεσβεύειν πρὸς τὸν Φιλάνθρωπον Θεὸν ὑπὲρ τῆς ποίμνης Ὑμῶν, ἣν ἐκ ψυχῆς ἠγαπήσατε, ὑπὲρ ἧς πολλοὺς ἱδρῶτας καὶ αἵματα ἐχύσατε, καὶ μέχρι θανάτου ἠγωνίσθητε ὅπως ῥύσητε ἡμᾶς ἀπὸ τοῦ ζόφου τῶν παθῶν. Καὶ γὰρ οἴδατε τὸ τῆς προαιρέσεως ῥάθυμον καὶ εὐόλισθον, καὶ πρὸς κακίαν ὀξύρροπον. Διὰ τοῦτο δυσωποῦμεν ὑμᾶς, ἵνα ὡς ἐν τῷ μοχθηρῷ τούτῳ καὶ πολυωδύνῳ καὶ ἀπατεῶνι καὶ πλάνῳ βίῳ, ὁδηγοὶ καὶ καθηγηταὶ ἡμῶν ὑπήρξατε σωτήριοι, οὕτως, εἴπερ ποτε καὶ νῦν, ὡς τῇ Ἁγίᾳ Τριάδι παριστάμενοι, ἐνισχύσατε καὶ τὸν ἤδη πνευματικὸν ἡμῶν πατέρα Ἀρχιμανδρίτην Γεώργιον, ὃν ἡ Θεία Πρόνοια ἐδικαίωσε Καθηγούμενον εἶναι καὶ ἀνέρχεσθαι τὸν ὑφ᾽ ὑμῶν οὕτω δοξασθέντα Ἡγουμενικὸν θρόνον μετὰ τῶν περὶ Αὐτὸν Προϊσταμένων, καὶ φωτίσατε αὐτοὺς ὁδηγεῖν τὴν Ἱερὰν ταύτην Ἀδελφότητα εἰς νομὰς σωτηρίους, ὅπως ἤρεμον καὶ γαλήνιον τὸν μικρὸν τῆς παροικίας ἡμῶν χρόνον βιώσαντες, ἵλεων καὶ εὐμενῆ τὸν ἀδέκαστον κριτὴν εὕρωμεν ἐν ἡμέρᾳ τῆς κρίσεως.

Πρὸς ὑμᾶς δέ, Ἀδελφοί, τοὺς τιμῶντας τοὺς πνευματικοὺς ἡμῶν Πατέρας, πρὸς ὑμᾶς ἀπευθύνω τὰς τελευταίας τοῦ λόγου μου στροφάς.

Εἴ τινες μεταξὺ τῶν μεταστάντων πρὸς Κύριον Κτιτόρων τῆς Ἱερᾶς ἡμῶν Μετανοίας τὰ πνευματικὰ ἀσθενέστεροι, ὡς περιβεβλημένοι τὸ ἀσθενὲς τοῦ ἀνθρώπου σαρκίον, ἐν τῷ διάπλῳ τοῦ πολυκυμάντου τούτου τρισμεγίστου ὠκεανοῦ τῆς ζωῆς, προσέκρουσάν πως ἐνώπιον Θεοῦ καὶ ἐνώπιον ἀνθρώπων καὶ τοῦτο «*ὅπως μὴ καυχήσηται ἐνώπιον τοῦ Θεοῦ πᾶσα σάρξ*», κατὰ τὸν Ἀπόστολον, τοὺς νοεροὺς ἡμῶν ὀφθαλμοὺς πρὸς Κύριον ὑψώσατε καὶ δεηθῆτε μετ᾽ ἐμοῦ : «*Ὕψιστε Θεὲ Παντοκράτορ, Θεὲ τῶν πνευμάτων καὶ πάσης σαρκός, τὰς ψυχὰς τῶν ἀοιδίμων κτιτόρων, ἀνακαινιστῶν, διαρρυθμιστῶν, Καθηγουμένων καὶ πάντων τῶν προαπελθόντων πατέρων καὶ ἀδελφῶν τῆς Ἱερᾶς Μονῆς ταύτης ἐν τοῖς κόλποις Σου ἀνάπαυσον. ΑΜΗΝ*».